UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

2. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

ὡϲ ἴδον Ἥφαιϲτον διὰ δώματα ποιπνύοντα.
ὣϲ τότε μὲν πρόπαν ἦμαρ ἐϲ ἠέλιον καταδύντα
δαίνυντ᾽, οὐδέ τι θυμὸϲ ἐδεύετο δαιτὸϲ ἐίϲηϲ,
οὐ μὲν φόρμιγγοϲ περικαλλέοϲ, ἣν ἔχ᾽ Ἀπόλλων,
μουϲάων θ᾽, αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάοϲ ἠελίοιο,
οἳ μὲν κακκείοντεϲ ἔβαν οἶκον δὲ ἕκαϲτοϲ,
ἧχι ἑκάϲτῳ δῶμα περικλυτὸϲ ἀμφιγυήειϲ
Ἥφαιϲτοϲ ποίηϲεν ἰδυίῃϲι πραπίδεϲϲι.
Ζεὺϲ δὲ πρὸϲ ὃν λέχοϲ ἤι᾽ Ὀλύμπιοϲ ἀϲτεροπητήϲ,
ἔνθα πάροϲ κοιμᾶθ᾽, ὅτε μιν γλυκὺϲ ὕπνοϲ ἱκάνοι·
ἔνθα καθεῦδ᾽ ἀναβάϲ, παρὰ δὲ χρυϲόθρονοϲ Ἥρη.

---

# ΙΛΙΑΔΟϹ Β.

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεϲ ἱπποκορυϲταὶ
εὗδον παννύχιοι, Δία δ᾽ οὐκ ἔχε νήδυμοϲ ὕπνοϲ,
ἀλλ᾽ ὅ γε μερμήριζε κατὰ φρένα, ὡϲ Ἀχιλῆα
τιμήϲῃ, ὀλέϲῃ δὲ πολέαϲ ἐπὶ νηυϲὶν Ἀχαιῶν.

---

V. L. 601 ἦμαρ D. ἐϲ: ἕωϲ G. — 602 οὐδέ τι: οὐδ᾽ ἔτι D. οὐδέ τε G. — 603 μὲν: μὴν A 2. man. Mosc. 3. — 604 καλλῇ G. μὲν: δὲ Schol. Ξ 37. οἶκον δὲ A: οἶκονδε CDG. οἶκονδε L. vulgo οἶκόνδε. — 607 ἡχι: ᾗχι A Cram. Epim. 192, 28; An. Par. III, 301, 31; An. Par. IV, 9, 5. — 608 ποίηϲεν ἰδυίῃϲι A Ambros. L Apoll. Lex. 90, 5. Hesych. II, 295. ποίηϲεν εἰδυίῃϲι E 162, 20. ποίηϲεν ἰδίῃϲι Et. Mg. 805, 38: ποίηϲ᾽ εἰδυίῃϲι CDGHS Et. Mg. 440, 19. Cram. An. Par. III, 106, 23. εἰδυίαιϲι Suidas II, 2, 400, 3. γρ. ποίηϲ᾽ εἰδυίηϲι πρα A. πραπίδεϲϲι AH. — 609 ἤϊ᾽: HI Ambros. ἤϊε G. ᾔει Apoll. de Pron. 135 C. — 610 ὅτέ μιν C. ἱκάνει Vrat. a. — 611 καθεῦδ᾽: κάθευδ᾽ C 1. man. DGL. παρα A.

---

A. c. 606 δὴ κείοντεϲ: οὕτω πᾶϲαι· καὶ ἔϲτιν ὅμοιον τῷ „κείων ἐϲ θάλαμον" (τ 48) Schol. L. — 607 ἧχι Aristarchus et Dionysius. — 609 ὃν λέχοϲ: ὃ λέχοϲ Zenodotus, conf. Apollon. de Pron. 140. — 611 ἔνθα καθεῦδ᾽: ἔνθ᾽ ἐκάθευδ᾽ Zenodotus, conf. Schol. A 68, γ 402, ζ 1. Düntzer, de Zenod. pg. 60.

---

V. L. 1 μὲν ῥὰ L. — 2 ἔχε, νήδυμοϲ A. — 3 ὅ γε: ὅδε C. μερμήριξεν Et. Mg. 580, 26. ἀχιλλῆα DH 1. man. — 4 τιμήϲῃ CDEGHLS Schol. Θ 5, X 468. τιμηϲῆι (ει) A. ὀλέϲῃ ACDEGHLS Schol. Θ 5, X 468.

---

A. c. 1 ἄλλοι: Zenodotus ὦλλοι, conf H. T. 186. — 2 ἔχε νήδυμοϲ Aristarchus: alii ἔχεν ἤδυμοϲ, conf. H. T. 315. — 4 τιμήϲῃ, ὀλέϲῃ, conf. H. U. 242. τιμήϲει εὐκτικόν, τὸ δὲ ὀλέϲῃ ὑποτακτικόν Schol. ABL.

ἧδε δέ οἱ κατὰ θυμὸν ἀρίϲτη φαίνετο βουλή,
πέμψαι ἐπ᾽ Ἀτρείδῃ Ἀγαμέμνονι οὖλον ὄνειρον·
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
βάϲκ᾽ ἴθι οὖλε ὄνειρε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν.
ἐλθὼν ἐϲ κλιϲίην Ἀγαμέμνονοϲ Ἀτρεΐδαο
πάντα μάλ᾽ ἀτρεκέωϲ ἀγορευέμεν, ὡϲ ἐπιτέλλω.
θωρῆξαί ἑ κέλευε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
πανϲυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶϲ Ὀλύμπια δώματ᾽ ἔχοντεϲ
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπανταϲ
Ἥρη λιϲϲομένη, Τρώεϲϲι δὲ κήδε᾽ ἐφῆπται.
ὣϲ φάτο, βῆ δ᾽ ἄρ᾽ ὄνειροϲ, ἐπεὶ τὸν μῦθον ἄκουϲε.
καρπαλίμωϲ δ᾽ ἵκανε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν,
βῆ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀτρείδην Ἀγαμέμνονα· τὸν δὲ κίχανεν
εὕδοντ᾽ ἐν κλιϲίῃ, περὶ δ᾽ ἀμβρόϲιοϲ κέχυθ᾽ ὕπνοϲ.
ϲτῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆϲ Νηληΐῳ υἷι ἐοικώϲ,
Νέϲτορι, τόν ῥα μάλιϲτα γερόντων τῖ᾽ Ἀγαμέμνων·
τῷ μιν ἐειϲάμενοϲ προϲεφώνεε θεῖοϲ ὄνειροϲ·
εὕδειϲ Ἀτρέοϲ υἱὲ δαΐφρονοϲ ἱπποδάμοιο·
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόϲϲα μέμηλε.
νῦν δ᾽ ἐμέθεν ξύνεϲ ὦκα· Διὸϲ δέ τοι ἄγγελόϲ εἰμι,
ὅϲ ϲευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.

---

V. L. 5 ἧδε A Et. Gud. 236, 7. — 6 ἀτρείδην ἀγαμέμνονα GS Barocc. Laud. — 9 ἐϲ: δ᾽ ἐϲ CGS. — 10 ἐπιτέλλω: ἀγορεύω L. — 11 κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 12 πανϲυδίῃ: παϲϲυδίῃ GLS Apoll. Lex. 128, 31. παϲυδίῃ vel παϲϲυδίῃ Mor. Barocc. Harl. Eton. man. sec. Mosc. 2. ἕλῃ G. εὐρυάγειαν G. — 13 τρῴων GL. — 14 ἐπέγναψε C 1. man. DL Et. Mg. 236, 12. Zonar. Lex. 445. ἐπέγναψεν Lips. ἐπέγναμψε Eust. 150, 13; 1229, 63. — 15 Τρώεϲϲι δὲ κήδε᾽ ἐφῆπται: δίδομεν δέ οἱ εὖχοϲ ἀρέϲθαι Aristoteles Poët. 25; Soph. El. 4. — 16 φᾶτο D. ἂρ ADH. δ᾽ ὄνειροϲ L. ἄκουϲε ACDHL. — 18 ἂρ DGHL. ἐπατρείδην A. * δὲ κίχανεν: libri δ᾽ ἐκίχανεν. — 19 περι AD. — 20 ἂρ ADGHL. ὑπερ A. νηληείω H. υἱῗ D. — 21 τὸν ῥὰ L. τί᾽ D. — 22 θεῖοϲ: γράφεται καὶ οὖλοϲ A, ita Mosc. 2. — 23 ἀτρέωϲ CDG Mosc. 1. — 25 τ᾽ omitt. L. μέμηλε ACEGH. — 26 δεμέθεν D. — 27 ὅϲ ϲευ L; ceteri ὃϲ ϲεῦ cum Schol. Υ 334, sed Ω 174 plerique ὅϲ ϲευ.

---

τιμήϲῃ Nicanor. ὀλέϲαι, quod vulgo scribunt, est coniectura. πολέαϲ: πολῦϲ Zenodotus, quem potius πολεῖϲ scripsisse puto, conf. Schol. A 559.

A. c. 8 βάϲκ᾽ ἴθι: Tyrannio βάϲκιθι. — 12 πανϲυδίῃ Aristarchus. ἕλοι Zenodotus: ἕλοιϲ Aristarchus. 27 ἀϲτερίϲκοϲ ϲὺν ὀβελίϲκῳ, ὀρθῶϲ Ω 174. ὀρθοτονητέον τὴν ϲεῦ Herodianus.

θωρῆξαί ϲ᾽ ἐκέλευϲε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
πανϲυδίῃ· νῦν γάρ κεν ἕλοιϲ πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶϲ Ὀλύμπια δώματ᾽ ἔχοντεϲ
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπανταϲ
Ἥρη λιϲϲομένη, Τρώεϲϲι δὲ κήδε᾽ ἐφῆπται
ἐκ Διόϲ. ἀλλὰ ϲὺ ϲῇϲιν ἔχε φρεϲί, μή δέ ϲε λήθη
αἱρείτω, εὖτ᾽ ἄν ϲε μελίφρων ὕπνοϲ ἀνήῃ.
ὣϲ ἄρα φωνήϲαϲ ἀπεβήϲετο, τὸν δὲ λίπ᾽ αὐτοῦ
τὰ φρονέοντ᾽ ἀνὰ θυμόν, ἅ ῥ᾽ οὐ τελέεϲθαι ἔμελλον.
φῆ γὰρ ὅ γ᾽ αἱρήϲειν Πριάμου πόλιν ἤματι κείνῳ,
νήπιοϲ, οὐδὲ τὰ ᾔδη, ἅ ῥα Ζεὺϲ μήδετο ἔργα·
θήϲειν γὰρ ἔτ᾽ ἔμελλεν ἐπ᾽ ἄλγεά τε ϲτοναχάϲ τε
Τρωϲί τε καὶ Δαναοῖϲι διὰ κρατερὰϲ ὑϲμίναϲ.
ἔγρετο δ᾽ ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ᾽ ὀμφή.
ἕζετο δ᾽ ὀρθωθείϲ, μαλακὸν δ᾽ ἔνδυνε χιτῶνα,
καλὸν νηγάτεον, περὶ δὲ μέγα βάλλετο φᾶροϲ·
ποϲϲὶ δ᾽ ὑπὸ λιπαροῖϲιν ἐδήϲατο καλὰ πέδιλα,
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοιϲιν βάλετο ξίφοϲ ἀργυρόηλον.
εἵλετο δὲ ϲκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·
ϲὺν τῷ ἔβη κατὰ νῆαϲ Ἀχαιῶν χαλκοχιτώνων.
ἠὼϲ μέν ῥα θεὰ προϲεβήϲετο μακρὸν Ὄλυμπον

---

V. ι. 28 ϲ᾽ ἐκέλευϲε ACS Mor. Barocc. ϲ᾽ ἐκέλευε H Lips. Townl. Eton. ϲε κέλευϲε G (ϲὲ) L. ϲε κέλευε D, conf. 65. κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 29 πανϲυδίῃ: παϲϲυδίῃ GLS. — 30 τρῴων GL. — 31 ἐπέγναμψε CH 1. man. ἐπέγναψε DL. — 32 τρῴεϲϲι L. — 33 μὴ δέ ϲε CDGHL Et. Mg. 38, 6. Et. Gud. 21, 38. Zonar. Lex. 1179: μηδέ ϲε AE. — 34 ἀνήῃ AEGH Cram. Epim. 2, 5. ἀνήῃ CD. ἀνήῃ Et. Mg. 106, 52. ἀνίῃ L. — 35 ἀπεβήϲετο AC 1. man. Townl. Eton. Mosc. 1. 2.: ἀπεβήϲατο C 2. man. DHL. ἀπεβήϲϲατο G. δὲ λίπ᾽ A: ceteri δ᾽ ἔλιπ᾽. — 36 ἃ οὐ G. ἔμελλον Eust. 168, 39 G: ἔμελλε ACH Suidas I, 2, 203, 10. ἔμελλεν DL Apoll. Lex. 1, 11. — 37 πριάμοιο L. — 38 τὰ: τὸ Bekk. An. 938, 25. ᾔδη AD 2. man.: ἤδῃ GH. ἤδει L Mor. ἤδει D 1. man. S. ἃ ῥὰ CL. ἅ ῥ᾽ ὁ ζεὺϲ Mor. Barocc. — 40 τρῳϲί L. — 42 δ᾽ omitt. E. ἔδυνε L. — 43 περι AD. δὲ: δ᾽ αὖ L Draco de Metr. 92, 18. φάροϲ D. φᾶροϲ et φάροϲ C. — 44 ὑπο ADH. ὑπὸ Lips. Vrat. a. man. prim. A. ὑπαὶ GL Draco de Metr. 76, 26. τὸ ὑπὸ λιπαροῖϲι τινὲϲ ὑπαὶ λιπαροῖϲι γράφουϲιν Eust. 170, 27. πέδιλα: πέδηλα D 1. man. G. — 45 ἄρ ADEGL. ἄρα H. ὤμοιϲι DH Schol. A 37. — 48 μὲν ῥὰ L. προϲεβήϲετο: προϲεβήϲατο CDEHL. προϲεβήϲϲατο G.

---

A. c. 34 ἀνήῃ Aristarchus, cf. H. T. 405 sq. — 35 ἀπεβήϲετο Zenodotus: ceteri ἀπεβήϲατο teste Schol. BC. δὲ λίπ᾽: οὕτωϲ ἰωνικῶϲ τὸ λίπε Didymus. — 36 ἔμελλον Aristarchus: Zenodotus ἔμελλεν, conf. H. T. 383. — 44 ὑπὸ, non ὑπαὶ scribendum, cf. H. U. 50.

Ζηνὶ φόωϲ ἐρέουϲα καὶ ἄλλοιϲ ἀθανάτοιϲιν·
αὐτὰρ ὃ κηρύκεϲϲι λιγυφθόγγοιϲι κέλευϲε
κηρύϲϲειν ἀγορὴν δὲ κάρη κομόωνταϲ Ἀχαιούϲ·
οἳ μὲν ἐκήρυϲϲον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.
βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεϲτορέῃ παρὰ νηὶ Πυλοιγενέοϲ βαϲιλῆοϲ·
τοὺϲ ὅ γε ϲυγκαλέϲαϲ πυκινὴν ἠρτύνετο βουλήν·
κλῦτε φίλοι· θεῖόϲ μοι ἐνύπνιον ἦλθεν ὄνειροϲ
ἀμβροϲίην διὰ νύκτα· μάλιϲτα δὲ Νέϲτορι δίῳ
εἶδόϲ τε μέγεθόϲ τε φυήν τ᾽ ἄγχιϲτα ἐῴκει.
ϲτῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆϲ καί με πρὸϲ μῦθον ἔειπεν·
εὕδειϲ Ἀτρέοϲ υἱὲ δαΐφρονοϲ ἱπποδάμοιο·
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται καὶ τόϲϲα μέμηλε.
νῦν δ᾽ ἐμέθεν ξύνεϲ ὦκα· Διὸϲ δέ τοι ἄγγελόϲ εἰμι,
ὅϲ ϲευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
θωρῆξαί ϲ᾽ ἐκέλευϲε κάρη κομόωνταϲ Ἀχαιοὺϲ
πανϲυδίῃ· νῦν γάρ κεν ἕλοιϲ πόλιν εὐρυάγυιαν
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶϲ Ὀλύμπια δώματ᾽ ἔχοντεϲ

---

V. l. 49 φόωϲ: φάοϲ G. ἀθανάτοιϲι C. — 50 δ CDGHL. κέλευϲε AH Vrat. a. b. c. Lips. Mosc. 1. 2. κέλευε CDEG. κέλευεν S. — 52 ἀγορὴν δὲ A. κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 53 βουλὴν ACEGS Et. Mg. 208, 37. Stob. Floril. 48, 9. βουλήνδε DHL. ἶζε EL: ἵζε AGH Et. Mg. 208, 37. Stob. Flor. 48, 9. ἷζε C. — 54 νεϲτορίῃ GS. νεϲτορίη[ε] H, ε 2. man. Πυλοιγενέοϲ: πυληγενέοϲ CDGLS, utrumque E. πυληγενέοϲ[οι] H, οι 2. man. — 56 ἐνύπνιον: ἐνύπνιοϲ D. — 58 τε μέγεθόϲ: τ᾽ αὖ μέγεθοϲ L. — 59 ἂρ ADGHL. ὕπερ A. — 60 ἀτρέωϲ CD. — 62 τ᾽ omitt. L. μέμηλε ACGH. — 63 ἄγγελοϲ εἰμὶ GL. — 64 ὅϲ ϲευ L, ceteri ὃϲ ϲεῦ. — 65 ϲ᾽ ἐκέλευϲε CLS Harl. Vrat. a. ϲ᾽ ἐκέλευε H. Lips. Townl. Eton. ϲε κέλευε D. ϲε κέλευϲε AG. κάρη κομόωνταϲ A: ceteri καρηκομόωνταϲ. — 66 παϲϲυδίη GLS. — 67 τρῴων GL.

---

A. c. 53 βουλὴν Zenodotus et αἱ κοιναί: βουλῇ Aristarchus cum Aristophane. Ἀρίϲταρχοϲ τὸ ἶζεν ἐκτείνει, ἡ δὲ κοινὴ ϲυϲτέλλει. — 54 Πυλοιγενέοϲ δὲ ὡϲ ὁδοιπόροϲ, χοροιτύποϲ (Ω 261. add. ὀλοοίτροχοϲ χροιῇ Ξ 164) Schol. BL. — 55 Zenodotus αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέεϲ τ᾽ ἐγένοντο, τοῖϲι δ᾽ ἀνιϲτάμενοϲ μετέφη κρείων Ἀγαμέμνων. — 56 θεῖοϲ: Zenodotus θεῖον. huic asteriscus adpictus est, quod hinc transpositus est in Odyss. ξ 495. — 60—70 Ζηνόδοτοϲ ϲυντέτμηκεν „ἠνώγει (Cod. ἀνώγει) ϲε πατὴρ ὑψίζυγοϲ, αἰθέρι ναίων, Τρωϲὶ μαχήϲαϲθαι προτὶ Ἴλιον. ὡϲ ὃ μὲν εἰπών" Aristonicus. — 64 habet asteriscum et obelum, conf. 27.

ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται
ἐκ Διός. ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν. ὣς ὃ μὲν εἰπὼν
ᾤχετ᾽ ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ᾽ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω·
ὑμεῖς δ᾽ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.
ἦ τοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο, τοῖσι δ᾽ ἀνέστη
Νέστωρ, ὅς ῥα Πύλοιο ἄναξ ἦν ἠμαθόεντος·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ᾽ ἴδεν ὃς μέγ᾽ ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
ὣς ἄρα φωνήσας βουλῆς ἐξ ἦρχε νέεσθαι.
οἳ δ᾽ ἐπανέστησαν πείθοντό τε ποιμένι λαῶν,
σκηπτοῦχοι βασιλῆες· ἐπεσσεύοντο δὲ λαοί.
ἠύτε ἔθνεα εἶσι μελισσάων ἁδινάων,
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων·
βοτρυδὸν δὲ πέτονται ἐπ᾽ ἄνθεσιν εἰαρινοῖσιν·
αἳ μέν τ᾽ ἔνθα ἅλις πεποτήαται, αἳ δέ τε ἔνθα·
ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων

---

V. l. 68 ἐπέγναμψε C. ἐπέγναψε DL. — 69 τριώεσσι L. — 70 ὥς A. ὃ μὲν C. — 73 ἐγὼν: ἔγωγ᾽ S. ἔπεσι E Et. Mg. 693, 16. πειράσομαι H 1. man. ἣ AG: ἣ CDHLS. ἧ E. ἐστί CL. — 74 κελεύσω: κελεύω Et. Mg. 518, 44. — 76 ἦ τοι: libri ἤτοι. καταρέζετο CDH 1. man. ἄρ GL. — 77 ὃς ῥὰ CHL. — 78 ὅ, σφιν C: ὅς σφιν L. ὃς σφίν G. ceteri ὅ σφιν.

* ἐὺ φρονέων: εὖ φρονέων CDHLS, ceteri ἐΰφρονέων. — 79 οἰκήτορες (ηγ supra) H. ἔνισπε ACDL. — 82 Ἀχαιῶν: ἐνὶ στρατῷ E 175, 22 L, conf. A 91. — 84 ἐξ ἦρχε: ἐξῆρχε ACDE 176, 13; 219, 31 GHL tres Vratt. Mosc. 1. — 85 οἵδ᾽ CGHL, ceteri οἱ δ᾽. ἐπανέσταν L. — 87 ἠΰτ᾽ Pseudoplut. 122, 38. ἁδινάων A, ceteri ἀδινάων. — 89 βοτρυδόνδε DL. — 90 αἳ μέν τ᾽ G. τ᾽ ἔνθ᾽ H. πεποτίαται D. δέ τ᾽ ἔνθα L. — 91 ὥς A. ἀπο D.

---

A. c. 74 πολυκλήισι: τινὲς προπερισπῶσιν Et. Mg. 518, 44. — 76—83 ἀθετοῦνται Aristonicus. de versu 81. conf. Schol. Ω 222. — 87 ἁδινάων Herodianus. — 85 δ᾽ ἐπανέστησαν: τινὲς πανέστησαν γράφουσιν, ἤτοι πάντες ὀρθοὶ ἔστησαν Eust. 176, 17. δὲ πανέστησαν: ἀντὶ τοῦ πάντες ἀνέστησαν. τινὲς δὲ ἐπανέστησαν Schol. L.

ἠιόνος προπάροιθε βαθείης ἐστιχόωντο
ἰλαδὸν εἰς ἀγορήν· μετὰ δέ σφισιν ὄσσα δεδήει
ὀτρύνους᾽ ἰέναι, Διὸς ἄγγελος· οἳ δ᾽ ἀγέροντο·
τετρήχει δ᾽ ἀγορή, ὑπὸ δὲ στεναχίζετο γαῖα
λαῶν ἱζόντων, ὅμαδος δ᾽ ἦν· ἐννέα δέ σφεας
κήρυκες βοόωντες ἐρήτυον, εἴ ποτ᾽ ἀυτῆς
σχοίατ᾽, ἀκούσειαν δὲ διοτρεφέων βασιλήων.
σπουδῇ δ᾽ ἕζετο λαός, ἐρήτυθεν δὲ καθ᾽ ἕδρας
παυσάμενοι κλαγγῆς· ἀνὰ δὲ κρείων Ἀγαμέμνων
ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος κάμε τεύχων.
Ἥφαιστος μὲν δῶκε Διὶ Κρονίωνι ἄνακτι,
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ ἀργεϊφόντῃ.
Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ,
αὐτὰρ ὃ αὖτε Πέλοψ δῶκ᾽ Ἀτρέι, ποιμένι λαῶν·
Ἀτρεὺς δὲ θνήσκων ἔλιπεν πολύαρνι Θυέστῃ,
αὐτὰρ ὃ αὖτε Θυέστ᾽ Ἀγαμέμνονι λεῖπε φορῆναι,
πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν.
τῷ ὅ γ᾽ ἐρεισάμενος ἔπε᾽ Ἀργείοισι μετηύδα·
ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,

---

V. l. 93 εἰλαδὸν (ϊ supra) A. δέ σφισιν ACDEGL Schol. A 105: δὲ σφίσιν H. δεδήει CG Schol. A 105. Zonar. Lex. 487. — 94 οἵδ᾽ CDGL, ceteri οἱ δ᾽. — 95 ὕπο CDL. ὑποδεστοναχίζετο S. δὲ στοναχίζετο CDGHL Lips. Mosc. 1. Eton. δ᾽ ἐστοναχίζετο Eust. 180, 4. ὑπεστονάχιζε δὲ γαῖα Schol. Nicand. Ther. 175. — 96 δὲ σφέας L. δὲ σφὰς C. δέ σφας G. — 98 διοτροφέων G. — 99 καθέδρας CDGHL. — 100 ἄνα DL post ras. — 102 μὲν: δὲ Rhet. Gr. III, 134, 5. δῶκε: ἔδωκε Eust. 181, 39. — 104 δῶκεν: δῶκε CDE Rhet. Gr. III, 31, 17; 72, 17. — 105 ὃ ACDGHL. — 106 θνῄσκων A: ceteri θνήσκων. ἔλιπε E Rhet. Gr. III, 99, 32. — 107 ὃ ACDGL. — 108 πολλῇσι DEG Thucydides I, 9, 3. Apoll. Lex. 31, 15. Et. Mg. 136, 5. — 111 μέγα ACDEGHLS Apoll. Lex. 46, 11; 110, 12. Cram. Epim. 181, 4; 311, 4. Et. Mg. 409, 20; 638, 4. Et. Gud. 441, 4: μέγας Et. Mg. 163, 48. Et. Gud. 230, 10. γρ. καὶ μέγας Vrat. b. in marg.

---

A. c. 106 θνῄσκων, conf. H. U. 206. — 111 μέγα Zenodotus: μέγας Aristarchus et Callistratus teste Didymo. fallitur Aristonicus Zenodoto scripturam μέγας tribuens. — 112—118 Zenodotus omisit Ζηνόδοτος συντέμνει „ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος. λώβη γὰρ τάδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι“ Aristonicus, iterum falsus; nam si Zenodotus versum 111. omiserat, causa non erat, cur Didymus sententiam eorum impugnaret, qui Zenodotum μέγας scripsisse contenderent.

νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδέ τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
ἀνδράσι παυροτέροισι, τέλος δ' οὔ πώ τι πέφανται.
εἴ περ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
ὅρκια πιστὰ ταμόντες, ἀριθμηθήμεναι ἄμφω,
Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν,
ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
Τρώων δ' ἄνδρα ἕκαστοι ἑλοίμεθα οἰνοχοεύειν,
πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.
τόσσον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν· ἀλλ' ἐπίκουροι
πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες ἔασιν,
οἵ με μέγα πλάζουσι καὶ οὐκ εἰῶσ' ἐθέλοντα
Ἰλίου ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον.
ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται·
αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον

---

V. l. 114 ἀπάτην: ἄτην S. ἐβουλεύσατο L. — 115 δυσκλεᾶ C. — 119 γ' omitt. G. — 120 τοσόνδέ τε C. τοσόνδε γε G. τοσσόνδε τε D. τε omitt. L. — 122 οὔπω τί D. οὔτϊ πω L. οὔ πώ τι E. — 125 τρῷας CL. — 126 διακοσμηθείημεν D. διακοσμηθῆμεν CL Vrat. b. — 127 τρῴων CL. ἕκαστοι: ἕκαστον libri omnes. Τρώων αὖτε ἕκαστον Schol. A 225. — 130 τρῴων GL. οἳ: οἱ D. καταπόλιν H. — 131 ἐγχεσπάλοι A. — 133 Ἰλίου libri omnes. εὖ ναιόμενον ACDGHLS. — 136 ἡμέτεραι ἄλοχοι S. — 137 εἵατ' ἐνὶ CH Lips. Vrat. b. c. A. Mosc. 1. Et. Mg. 295, 7. Cram. An. Par. IV, 145, 13. Rhet. Gr. III, 86, 15: εἵατο ἐν G. εἵαται ἐν L. εἵατ' ἐν D. εἵατο ἐνὶ Zonar. Lex. 638. εἵατ' ἐν et γρ. εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι A. ἄμμι δὲ ἔργον: υἷας Ἀχαιῶν Rhet. Gr. III, 86, 15.

---

A. c. 116—118 ἀστερίσκοι ὅτι εἰς τὰς Λιτὰς (I 23—25) μετάκεινται Aristonicus. — 124 ἀθετεῖται Aristonicus. — 125 Τρῶες Aristarchus. — 127 ὁ Ἰξίων διὰ τοῦ ῡ ἕκαστον Didymus (Schol. A). ὁ Ἰξίων διὰ τοῦ ῑ, τινὲς δὲ διὰ τοῦ ῡ Schol. L, cui omnis fides est abroganda. — 130—133 ἀθετοῦνται Aristonicus, vid. Schol. Θ 56. — 131 ἔασιν: ἔνεισιν Callistratus et altera Aristarchi. — 133 Ἰλίου: Ἴλιον Aristarchus. — 137 εἵατ' ἐνὶ: εἵαται ἐν Heraclides, conf. Osann. Quaest. Hom. IV, 18.

αὔτωϲ ἀκράαντον, οὗ εἵνεκα δεῦρ᾽ ἱκόμεϲθα.
ἀλλ᾽ ἄγεθ᾽, ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ·
φεύγωμεν ϲὺν νηυϲὶ φίλην ἐϲ πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήϲομεν εὐρυάγυιαν.
ὣϲ φάτο, τοῖϲι δὲ θυμὸν ἐνὶ ϲτήθεϲϲιν ὄρινε
πᾶϲι μετὰ πληθύν, ὅϲοι οὐ βουλῆϲ ἐπάκουϲαν.
κινήθη δ᾽ ἀγορὴ ὡϲ κύματα μακρὰ θαλάϲϲηϲ
πόντου Ἰκαρίοιο, τὰ μέν τ᾽ εὖρόϲ τε νότοϲ τε
ὤρορ᾽ ἐπαΐξαϲ πατρὸϲ Διὸϲ ἐκ νεφελάων.
ὡϲ δ᾽ ὅτε κινήϲῃ Ζέφυροϲ βαθὺ λήιον ἐλθών,
λάβροϲ ἐπαιγίζων, ἐπί τ᾽ ἠμύει ἀϲταχύεϲϲιν,
ὣϲ τῶν πᾶϲ᾽ ἀγορὴ κινήθη. τοὶ δ᾽ ἀλαλητῷ
νῆαϲ ἔπ᾽ ἐϲϲεύοντο, ποδῶν δ᾽ ὑπένερθε κονίη
ἵϲτατ᾽ ἀειρομένη· τοὶ δ᾽ ἀλλήλοιϲι κέλευον
ἅπτεϲθαι νηῶν ἠδ᾽ ἑλκέμεν εἰϲ ἅλα δῖαν,
οὐρούϲ τ᾽ ἐξεκάθαιρον· ἀυτὴ δ᾽ οὐρανὸν ἷκεν
οἴκαδε ἱεμένων· ὑπὸ δ᾽ ᾕρεον ἕρματα νηῶν.
ἔνθά κεν Ἀργείοιϲιν ὑπέρμορα νόϲτοϲ ἐτύχθη,
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸϲ μῦθον ἔειπεν·
ὢ πόποι, αἰγιόχοιο Διὸϲ τέκοϲ, ἀτρυτώνη,
οὕτω δὴ οἶκον δέ, φίλην ἐϲ πατρίδα γαῖαν,
Ἀργεῖοι φεύξονται ἐπ᾽ εὐρέα νῶτα θαλάϲϲηϲ,

---

V. L. 138 αὔτωϲ: αὔτωϲ ACEHL Et. Mg. 84, 20. Apoll. Lex. 21, 7. ἀκρᾴαντον L. ἱκόμεθα G. — 139 ἐγὼ ACDE 186, 33; 188, 8 GHLS Schol. Z 71. Eust. 1583, 54: vulgo ἐγὼν. — 142 ὡϲ A. φᾶτο D. ὄρινε ACEHL. ὤρινε D. — 143 μετα A. — 144 ὡϲ ACDEGHL Schol. Θ 2. Strabo I, 29: alii φὴ. — 147 ὣϲ δ᾽ G. κινήϲῃ: κινήϲει CEGHLS Schol. Theocr. VIII, 49. — 149 ὡϲ A. ἀγογὰ D. — 150 ἔπ᾽: ἐπ᾽ A. ἐπεϲϲεύοντο CDEGHLS Io. Alexandr. 28, 11. Heraclid. Alleg. C. 10. — 153 ἐξεκάθαραν Zon. Lex. 1479. ἶκεν ACEGLS ex corr. ἵκεν D. ἧκεν H. ἧκε Et. Mg. 171, 34. — 154 οἴκαδ᾽ L. ἰεμένων DGH. ὑπο CD. ἤρεον H. — 155 ἔνθά κεν ACHL. ἐνθά κεν D. — 156 προϲ A. — 157 ὢ: ὦ A. τέκοϲ: τέκνον H, quod apud Homerum primam non corripit. — 158 οἶκον δὲ AD. οἶκονδε CGHL.

---

A. c. 141 ἔν τιϲιν οὐ φέρεται Schol. L. ἔν τιϲι τῶν ἀντιγράφων οὐδὲ ἐφέρετο Eust. 188, 7. — 143 ἀθετεῖται Aristonicus. — 144 ὡϲ: φὴ Zenodotus. — 148 ἐπαιγίζων: ἐπαΐϲϲων Aristophanes, vid. Schol. ο 293. — 150 ἐπ᾽ ἐϲϲεύοντο Herodianus. — 155 ὑπέρμορα Aristarchus, Aristophanes, Ptolem. Ascalonita, cf. Apoll. Lex. 160, 18. Eust. 1386, 64. Schol. AB ad Υ 30. — 156—169 Ζηνόδοτοϲ ϲυντέτμηκεν „εἰ μὴ Ἀθηναίη λαοϲϲόοϲ ἦλθ᾽ ἀπ᾽ Ὀλύμπου. εὗρεν ἔπειτ᾽ Ὀδυϲῆα“ Aristonicus.

κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωϲὶ λίποιεν
Ἀργείην Ἑλένην, ἧϲ εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίληϲ ἀπὸ πατρίδοϲ αἴηϲ.
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
ϲοῖϲ ἀγανοῖϲ ἐπέεϲϲιν ἐρήτυε φῶτα ἕκαϲτον,
μηδὲ ἔα νῆαϲ ἅλα δ' ἑλκέμεν ἀμφιελίϲϲαϲ.
ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε θεὰ γλαυκῶπιϲ Ἀθήνη.
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξαϲα.
[καρπαλίμωϲ δ' ἵκανε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν]
εὗρεν ἔπειτ' Ὀδυϲῆα, Διὶ μῆτιν ἀτάλαντον,
ἑϲταότ'· οὐδ' ὅ γε νηὸϲ ἐϋϲϲέλμοιο μελαίνηϲ
ἅπτετ', ἐπεί μιν ἄχοϲ κραδίην καὶ θυμὸν ἵκανεν.
ἀγχοῦ δ' ἱϲταμένη προϲέφη γλαυκῶπιϲ Ἀθήνη·
διογενὲϲ Λαερτιάδη, πολυμήχαν' Ὀδυϲϲεῦ,
οὕτω δὴ οἶκον δέ, φίλην ἐϲ πατρίδα γαῖαν,
φεύξεϲθ' ἐν νήεϲϲι πολυκλήιϲι πεϲόντεϲ,
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωϲὶ λίποιτε
Ἀργείην Ἑλένην, ἧϲ εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο φίληϲ ἀπὸ πατρίδοϲ αἴηϲ.
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδέ τ' ἐρώει,
ϲοῖϲ δ' ἀγανοῖϲ ἐπέεϲϲιν ἐρήτυε φῶτα ἕκαϲτον,

---

V. l. 160 καδδέ ACDGHL Aristot. Rhet. I, 6. τρῳϲὶ L. — 162 ἀπόλλοντο D. ἀπο D. ἄπο CGHL. — 163 κατὰ: μετὰ D. — 164 ϲοῖϲ Schol. Aristoph. Vesp. 1458: ϲοῖϲ δ' ACDEGHLS Et. Mg. 5, 55. — 165 μηδὲ: μὴ δὲ CDGH Et. Mg. 586, 10. μὴ δ' L Et. Gud. 390, 2. ἅλα δ' A: ceteri ἅλαδ', G ἅλαδε. — 166 ὡϲ A. — 168 omitt. ACD in textu Eton. Vrat. a. b. Townl. Mosc. 2: habent D in marg. man. rec. GHLS. — 169 εὗρε δ' ἔπειτ' Vrat. b. ὀδυϲϲῆα DGH 1. man. — 170 ἑϲταότ': ἑϲτῶτ' L, non male, si ἑϲτεῶτ' scripseris. ἐϋϲέλμοιο GHL 1. man. εὐϲέλμοιο. CD. — 171 ἅπτετ': ἥπτετο E. ἅπτετ'[η] H, η 2. man. — 174 οἶκον δὲ AD: οἶκονδε CH. οἴκονδε GL. — 176 καδδέ ACDGHL. — 178 ἀπο D. ἄπο CGHL. — 179 κατὰ: κατα A. μετὰ CDEHS Rhet. Gr. III, 123, 6. μηδέ τ' AEH. μὴ δέ τ' DGL Et. Mg. 381, 1. μὴ δ' ἔτ' C Lips. Barocc. Townl. Rhet. Gr. III, 123, 6. — 180 φῶτα: ἄνδρα Eust. 197, 45.

---

A. c. 160—162 ἀθετοῦνται, καὶ ἀϲτερίϲκοι παράκεινται (ὀρθῶϲ 176—178) Aristonicus. — 161 Ἀργείην Ἑλένην: Zenodotus Ἀργείην θ' Ἑλένην. — 162 ἀπὸ Herodianus: ἄπο Tyrannio et Ptolemaeus (Ascalonita). — 163 οὕτωϲ κατὰ λαὸν ϲυμφώνωϲ εἶχον ἅπαϲαι Didymus. — 164 αἱ χαριέϲταται „ϲοῖϲ ἀγανοῖϲ“, καὶ ἡ Ἀριϲτοφάνουϲ οὕτωϲ εἶχεν Didymus. ἀθετεῖται καὶ ἀϲτερίϲκοϲ παράκειται ὅτι οἰκείωϲ λέγεται 180. — 176—178 ἀϲτερίϲκοι, cf. 160. — 180 ἀϲτερίϲκοϲ, cf. 164.

μηδὲ ἔα νῆαϲ ἅλα δ' ἑλκέμεν ἀμφιελίϲϲαϲ.
ὣϲ φάθ', ὃ δὲ ξυνέηκε θεᾶϲ ὄπα φωνηϲάϲηϲ,
βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε· τὴν δὲ κόμιϲϲε
κῆρυξ Εὐρυβάτηϲ Ἰθακήϲιοϲ, ὅϲ οἱ ὀπήδει.
αὐτὸϲ δ' Ἀτρείδεω Ἀγαμέμνονοϲ ἀντίοϲ ἐλθὼν
δέξατό οἱ ϲκῆπτρον πατρώιον, ἄφθιτον αἰεί·
ϲὺν τῷ ἔβη κατὰ νῆαϲ Ἀχαιῶν χαλκοχιτώνων.
ὅν τινα μὲν βαϲιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τὸν δ' ἀγανοῖϲ ἐπέεϲϲιν ἐρητύϲαϲκε παραϲτάϲ·
δαιμόνι', οὔ ϲε ἔοικε κακὸν ὣϲ δειδίϲϲεϲθαι,
ἀλλ' αὐτόϲ τε κάθηϲο καὶ ἄλλουϲ ἵδρυε λαούϲ.
οὐ γάρ πω ϲάφα οἶϲθ', οἷοϲ νόοϲ Ἀτρείωνοϲ·
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷαϲ Ἀχαιῶν.
ἐν βουλῇ δ' οὐ πάντεϲ ἀκούϲαμεν, οἷον ἔειπε.
μή τι χολωϲάμενοϲ ῥέξῃ κακὸν υἷαϲ Ἀχαιῶν.
θυμὸϲ δὲ μέγαϲ ἐϲτὶ διοτρεφέων βαϲιλήων·
τιμὴ δ' ἐκ Διόϲ ἐϲτι, φιλεῖ δέ ἑ μητίετα Ζεύϲ.
ὃν δ' αὖ δήμου ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι,

---

V. l. 181 μηδὲ: μὴ δὲ CDGHL. ἔᾳ L. ἄλα δ' A. — 182 ὠϲ A. φᾶθ' D. — 183 ἄπο D. *δὲ κόμιϲϲε: δ' ἐκόμιϲϲε ACH. δ' ἐκόμιϲε DEG. — 184 κῆρυξ ACHL: κήρυξ DEG. — 185 ἀντίοϲ: ἀντίον HS. — 188 κιχείῃ G. κιχείει H, η 2. man. (η supra) ἐφεύροι Max. Tyr. Diss. XXXII, 5. — 189 τὸν δ': τόνδ' E Max. Tyr. Diss. XXI, 9. τὸν ῥ' Max. Tyr. Diss. XXXII, 5. ἐρητύεϲκε Barocc. ἐρητύαϲκε Vrat. a. 1. man. — 190 οὔ ϲε: οὔ ϲ' L. οὐ ϲὲ Cram. An. Par. III, 278, 28. ὣϲ: ὠϲ H. — 192 Ἀτρείωνοϲ L: ἀτρείδαο ACDEGHS. — 194 δ' omitt. E bis. ἔειπε ACDEGH. — 196 θυμὸϲ γὰρ GL. θυμὸϲ δὴ Cant. διοτρεφέοϲ βαϲιλῆοϲ ACES: διοτρεφέων (vel διοτροφέων) βαϲιλήων DGHL Aristot. Rhet. II, 2. Schol. A 173. Cram. An. Par. III, 113, 21. Et. Mg. 458, 9 et 16. Zonar. Lex. 1059. Stobaeus Floril. 46, 2. Pseudoplut. 153, 31. — 197 μητιέτα G. — 198 αὖ: ἂν Eust. 847, 39; 901, 7; 1119, 1. δήμου ἄνδρα AS Barocc. Laud. Eton. Townl. Schol. B 244. Eust. 901, 7; 1119, 1. Cram. An. Par. III, 331, 6: δήμου τ' ἄνδρα CDEGHL Schol. ι 44. Cram. An. Par. III, 315, 19. Eust. 847, 39.

---

A. c. 187 ἔβη: ὅτι Ζηνόδοτοϲ γράφει ϲὺν τῷ βὰϲ κατὰ νῆαϲ Aristonicus. — 188 πρὸϲ τὴν τάξιν τῶν ἑξῆϲ τὸ ἀντίϲιγμα Aristonicus, cf. 192 et 203. — 190 οὔ ϲε: ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ ϲυνήθεια Herodianus. — 192 τὸ ἀντίϲιγμα, ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺϲ ἑξῆϲ παρεϲτιγμένουϲ τρεῖϲ ϲτίχουϲ (203—205). εἰϲὶ γὰρ πρὸϲ βαϲιλεῖϲ ἁρμόζοντεϲ, οὐ πρὸϲ δημόταϲ Aristonicus. Ἀτρείωνοϲ Aristophanes, Dionysius Sidonius, Ixion, αἱ πλείουϲ τῶν χαριεϲτέρων, αἱ διορθώϲειϲ καὶ τὰ ὑπομνήματα (i. e. Aristarchi). — 193—197 ἀθετοῦνται Aristonicus. — 196 διοτρεφέοϲ βαϲιλῆοϲ: οὕτωϲ ἑνικῶϲ αἱ Ἀριϲτάρχου. εἶχον δὲ καὶ αἱ χαριέϲταται οὕτωϲ ἄνευ τῆϲ Ζηνοδότου, ὃϲ γράφει διοτρεφέων βαϲιλήων Didymus. — 198 δήμου ἄνδρα, non τ' ἄνδρα scri-

τὸν cκήπτρῳ ἐλάcαcκεν ὁμοκλήcαcκέ τε μύθῳ·
δαιμόνι᾽, ἀτρέμαc ἧcο καὶ ἄλλων μῦθον ἄκουε,
οἳ cέο φέρτεροί εἰcι, cὺ δ᾽ ἀπτόλεμοc καὶ ἄναλκιc,
οὔτέ ποτ᾽ ἐν πολέμῳ ἐναρίθμιοc οὔτ᾽ ἐνὶ βουλῇ.
οὐ μέν πωc πάντεc βαcιλεύcομεν ἐνθάδ᾽ Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷc κοίρανοc ἔcτω,
εἷc βαcιλεύc, ᾧ ἔδωκε Κρόνου πάιc ἀγκυλομήτεω.
[cκῆπτρόν τ᾽ ἠδὲ θέμιcταc, ἵνα cφίcι βαcιλεύῃ.]
ὣc ὅ γε κοιρανέων δίεπε cτρατόν· οἱ δ᾽ ἀγορὴν δὲ
αὖτιc ἐπεccεύοντο νεῶν ἄπο καὶ κλιcιάων
ἠχῇ, ὡc ὅτε κῦμα πολυφλοίcβοιο θαλάccηc
αἰγιαλῷ μεγάλῳ βρέμεται, cμαραγεῖ δέ τε πόντοc.
ἄλλοι μέν ῥ᾽ ἕζοντο, ἐρήτυθεν δὲ καθ᾽ ἕδραc·
Θερcίτηc δ᾽ ἔτι μοῦνοc ἀμετροεπὴc ἐκολῴα,
ὃc ῥ᾽ ἔπεα φρεcὶν ᾗcιν ἄκοcμά τε πολλά τε ᾔδη,
μάψ, ἀτὰρ οὐ κατὰ κόcμον, ἐριζέμεναι βαcιλεῦcιν,
ἀλλ᾽ ὅτι οἱ εἴcαιτο γελοίιον Ἀργείοιcιν
ἔμμεναι. αἴcχιcτοc δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε·
φολκὸc ἔην, χωλὸc δ᾽ ἕτερον πόδα· τὼ δέ οἱ ὤμω
κυρτώ, ἐπὶ cτῆθοc cυνοχωκότε· αὐτὰρ ὕπερθε
φοξὸc ἔην κεφαλήν, ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη.
ἔχθιcτοc δ᾽ Ἀχιλῆι μάλιcτ᾽ ἦν ἠδ᾽ Ὀδυcῆι·
τὼ γὰρ νεικείεcκε· τότ᾽ αὖτ᾽ Ἀγαμέμνονι δίῳ

---

V. L. 199 ἐλάcαcκε D. — 201 ἀπόλεμοc Et. Mg. 97, 25. ἄναλκηc G. — 202 οὔτέ ποτ᾽ ACG. οὐτέ ποτ᾽ D. οὐδέ ποτ᾽ L. ἐνι A. — 205 ἔδωκε libri omnes. *πάιc: παῖc libri. — 206 omitt. ACDEHS Lips. Townl. Mosc. 1. Eton. habent GL. cφίcιν L. — 207 οἵδ᾽ CGL. οἵδε H. ἀγορὴν δὲ A. — 209 ὥc G. — 211 καθέδραc CDGHL Et. Mg. 373, 11. — 212 δ᾽ ἔτι: δέ τοι G. δέ τι Cram. An. Par. III, 367, 3. ἐκολώα DL: ceteri ἐκολῴα cum Cram. Epim. 220, 28. An. Par. III, 367, 3. — 213 ὅc: ὅ D. ᾔδει CG Schol. B 212. ἤδει DS. ᾖδη L. — 215 ὅ, τι L. εἴcετο D. εἴcατο Apoll. Lex. 62, 26. — 216 δὲ ἀνὴρ: δ᾽ ἀνὴρ CG Barocc. Laud. Mor. Eton. ἦλθε ACEL. — 217 φολκὸc: φορκὸc S. — 218 cυνοχηκότε Mor. Vrat. c. ὕπερθε ACDGH. — 220 ἦδ᾽ A. ἧδ᾽ D. ὀδυccῆϊ G. — 221 τὼ: τῶ D. τότ᾽: τῷ δ᾽ G. αὖτ᾽: αὖ GLS.

---

bendum est, quum τ᾽ non nisi hiatus evitandi causa videatur additum esse, conf. A 151 ἢ ἄνδραcιν, B 216 δὲ ἀνήρ, 819 ἢ τοι ἄνδρεc, N 635 δὴ ἄνδρεccι, λ 414 ἀφνειοῦ ἀνδρόc, B 368 ἢ ἀνδρῶν.

A. c. 203—205 παράκειται ἡ cτιγμή, conf. ad 192. — 205 ἔδωκε: δῶκε Aristarchus. πάιc, conf. H. U. 96. — 212 ἐκολῴα: ἐκολώα Philoxenus. — 220—223 Ζηνόδοτοc ἠθέτηκεν Aristonicus. — 221 τὼ Aristarchus, non τῶ vel τῷ.

ὀξέα κεκληγὼϲ λέγ᾽ ὀνείδεα. τῷ δ᾽ ἄρ᾽ Ἀχαιοὶ
ἐκπάγλωϲ κοτέοντο νεμέϲϲηθέν τ᾽ ἐνὶ θυμῷ.
αὐτὰρ ὃ μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε μύθῳ·
Ἀτρείδη, τέο δὴ αὖτ᾽ ἐπιμέμφεαι ἠδὲ χατίζειϲ;
πλεῖαί τοι χαλκοῦ κλιϲίαι, πολλαὶ δὲ γυναῖκεϲ
εἰϲὶν ἐνὶ κλιϲίῃϲ ἐξαίρετοι, ἅϲ τοι Ἀχαιοὶ
πρωτίϲτῳ δίδομεν, εὖτ᾽ ἂν πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυϲοῦ ἐπιδεύεαι, ὅν κέ τιϲ οἴϲει
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷοϲ ἄποινα,
ὅν κεν ἐγὼ δήϲαϲ ἀγάγω ἢ ἄλλοϲ Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίϲγεαι ἐν φιλότητι,
ἥν τ᾽ αὐτὸϲ ἀπὸ νόϲφι κατίϲχεαι; οὐ μὲν ἔοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβαϲκέμεν υἷαϲ Ἀχαιῶν.
ὦ πέπονεϲ, κάκ᾽ ἐλέγχε᾽, Ἀχαιίδεϲ, οὐκέτ᾽ Ἀχαιοί,
οἴκαδέ περ ϲὺν νηυϲὶ νεώμεθα, τόνδε δ᾽ ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεϲϲέμεν, ὄφρα ἴδηται,
ἤ ῥά τί οἱ χἠμεῖϲ προϲαμύνομεν, ἦε καὶ οὐκί·
ὃϲ καὶ νῦν Ἀχιλῆα, ἕο μέγ᾽ ἀμείνονα φῶτα,
ἠτίμηϲεν· ἑλὼν γὰρ ἔχει γέραϲ, αὐτὸϲ ἀπούραϲ.
ἀλλὰ μάλ᾽ οὐκ Ἀχιλῆι χόλοϲ φρεϲίν, ἀλλὰ μεθήμων·
ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕϲτατα λωβήϲαιο.
ὣϲ φάτο νεικείων Ἀγαμέμνονα, ποιμένα λαῶν,
Θερϲίτηϲ· τῷ δ᾽ ὦκα παρίϲτατο δῖοϲ Ὀδυϲϲεύϲ,
καί μιν ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Θερϲῖτ᾽ ἀκριτόμυθε, λιγύϲ περ ἐὼν ἀγορητήϲ,

---

V. L. 222 ἄρ AGL. — 223 ἐνι A. — 224 ὃ CDGHL Apoll. Lex. 52, 2. Et. Mg. 203, 57. βοῶν: βιβὰϲ Vrat. a. — 225 * δὴ αὖτ᾽: libri δ᾽ αὖτ᾽. — 227 ἐνι A. κλιϲίαιϲ Barocc. Mor. κλιϲίῃ Cant. Plut. de Aud. poët. 9. κλιϲίοιϲιν L. — 229 ἦ: ἠδ᾽ Et. Mg. 258, 40. Et. Gud. 140, 5. οἴϲει: οἴϲῃ G. — 230 τρῴων GL. — 231 ἐγὼν L. ἀγάγοιμι Eust. 1072, 56. ἠ A. — 233 ἥν τ᾽: ἥν κ᾽ S. ἀπὸ νόϲφι GH (L 1. man.?). ἄπο νόϲφι L: vulgo ἀπονόϲφι. — 235 ἀχαΐδεϲ S. — 237 ἐνὶ: ἐν S. — 238 ἤ: ἦ AHL. τι οἱ ACGL. τι οἵ DH. χἠμεῖϲ: libri χ᾽ ἡμεῖϲ, excepto G, qui χ᾽ omittit. ἦε: libri ἠὲ. — 239 ὅϲ κε D. ἀχιλλῆα D. — 241 ἀχιλλῆϊ G. — 242 ἠ A. λωβήϲεο G. — 243 ὡϲ A. φᾶτο D.

---

A. c. 225 τέο δ᾽ αὖτ᾽ Aristarchus: Ζηνόδοτοϲ δὲ διὰ τοῦ ῃν (corr. η, δὴ αὖτ᾽) Schol. V. — 226 Zenodotus πλεῖαι δὲ γυναικῶν. — 227, 228 Ζηνόδοτοϲ ἐθέτηκεν Aristonicus. — 231—34 Ζηνόδοτοϲ ἠθέτηκεν Aristonicus. — 238 χἠμεῖϲ, non χ᾽ ἡμεῖϲ scribendum esse docuimus H. U. 284. οὐκί, non οὐχί, Aristarchus, conf. Schol. A ad B 300. — 239 ἕο Aristarchus: ἑοῦ Zenodotus.

ἴcχεο, μηδ᾽ ἔθελ᾽ οἶος ἐριζέμεναι βαcιλεῦcιν.
οὐ γὰρ ἐγὼ cέο φημὶ χερειότερον βροτὸν ἄλλον
ἔμμεναι, ὅccοι ἅμ᾽ Ἀτρείδῃc ὑπὸ Ἴλιον ἦλθον·
τῶ οὐκ ἂν βαcιλῆαc ἀνὰ cτόμ᾽ ἔχων ἀγορεύοιc,
καί cφιν ὀνείδεά τε προφέροιc, νόcτόν τε φυλάccοιc.
οὐδέ τί πω cάφα ἴδμεν, ὅπωc ἔcται τάδε ἔργα,
ἢ εὖ ἦε κακῶc νοcτήcομεν υἷεc Ἀχαιῶν.
τῷ νῦν Ἀτρείδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ἧcαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦcιν
ἥρωεc Δαναοί· cὺ δὲ κερτομέων ἀγορεύειc.
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεcμένον ἔcται·
εἴ κ᾽ ἔτι c᾽ ἀφραίνοντα κιχήcομαι ὥc νύ περ ὧδε,
μηκέτ᾽ ἔπειτ᾽ Ὀδυcῆι κάρη ὤμοιcιν ἐπείη,
μηδ᾽ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένοc εἴην,
εἰ μὴ ἐγώ cε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύcω,
χλαῖνάν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰc ἐπὶ νῆαc ἀφήcω
πεπληγὼc ἀγορῆθεν ἀεικέccι πληγῇcιν.
ὣc ἄρ᾽ ἔφη, cκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
πλῆξεν· ὃ δ᾽ ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεcε δάκρυ.
cμῶδιξ δ᾽ αἱματόεccα μεταφρένου ἐξυπανέcτη
cκήπτρου ὕπο χρυcέου· ὃ δ᾽ ἄρ᾽ ἕζετο τάρβηcέν τε,

---

V. L. 247 μὴ δ᾽ CDGHL. βαcιλεῦcι D. — 249 ἀτρείδῃc᾽ E 213, 20 GL 1. man. — 250 τῶ ACDGHL Et. Mg. 773, 28 et 45: τῷ E. τὼ Io. Alexandr. 31, 20. ἀνα A. ἀγορεύειc D. — 251 νόcτόν τε A. νόcτον τὲ C. φυλάττοιc C. φυλάccειc Apoll. Lex. 165, 20. — 252 οὐδέ τι πω CDGL. — 254 τῶ ACGL: τῷ DH. — 256 ἥρωεc ἀχαιοὶ G. — 257 τόδε DHL. — 258 κ᾽ ἔτι: κέ τι Harl. κέ τί Et. Mg. 820, 44. καί, τι S. κιχήcομαι: κιχείω Et. Mg. 820, 44. — 259 μὴ κ᾽ ἔτ᾽ D. ὀδυccῆϊ GH. ἐπείηι A. — 260 μηδέ τι H. μὴ δ᾽ ἔτι τηλεμάχου γε G. μὴ δ᾽ ἔτι CDL. — 261 ἀπο CDL. δύcω: δύω L 1. man. — 264 ἀγορῆθϊ G. ἀεικῆcϊ H. — 265 ὡc A. ἂρ AEGL. ὦμω C. — 266 ὃ δ᾽ L: ὅδ᾽ CDH. θαλερὸν: ἁλυκὸν Zonar. Lex. 133. ἔκπεcε, non ἔκφυγε, libri cum Eustathio. — 267 cμώδιξ G. ἐξ ὑπανέcτη Vrat. c. Mosc. 1. — 268 ὑπὸ ACDEGHL. ὃ δ᾽ L. ὅδ᾽ CGH. ἂρ ADEGHL.

---

A. c. 247 μηδ᾽ ἔθελ᾽ Aristarchus. — 252—256 ἀθετοῦνται Aristonicus, cf. Schol. BL ad 254. — 255 διδοῦcιν Herodianus. — 258 εἰ δέ τι Aristarchus: εἴ κ᾽ ἔτι Zenodotus, cui assentitur Didymus. κιχήcομαι Philemo cum Sinopensi: κιχείομαι Ptolemaeus. ὥc νύ περ ὧδε: ὡc τὸ πάροc περ Sinopensis. ὕcτερον αὖτιc Massiliensis. ἐν Δαναοῖcιν Philemo. — 262 αἰδῶ Aristarchus et Pamphilus: αἰδὼ Dionysius Sidonius.

ἀλγήcαc δ᾽, ἀχρεῖον ἰδών, ἀπομόρξατο δάκρυ.
οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ᾽ αὐτῷ ἡδὺ γέλαccαν,
ὧδε δέ τιc εἴπεcκεν ἰδὼν ἐc πληcίον ἄλλον·
ὢ πόποι, ἦ δὴ μυρί᾽ Ὀδυccεὺc ἐcθλὰ ἔοργε
βουλάc τ᾽ ἐξάρχων ἀγαθὰc πόλεμόν τε κορύccων·
νῦν δὲ τόδε μέγ᾽ ἄριcτον ἐν Ἀργείοιcιν ἔρεξεν,
ὃc τὸν λωβητῆρα ἐπεcβόλον ἔcχ᾽ ἀγοράων.
οὔ θήν μιν πάλιν αὖτιc ἀνήcει θυμὸc ἀγήνωρ
νεικείειν βαcιλῆαc ὀνειδείοιc ἐπέεccιν.
ὣc φάcαν ἡ πληθύc· ἀνὰ δ᾽ ὁ πτολίπορθοc Ὀδυccεὺc
ἔcτη cκῆπτρον ἔχων· παρὰ δὲ γλαυκῶπιc Ἀθήνη
εἰδομένη κήρυκι cιωπᾶν λαὸν ἀνώγει,
ὡc ἅμα θ᾽ οἱ πρῶτοί τε καὶ ὕcτατοι υἷεc Ἀχαιῶν
μῦθον ἀκούcειαν καὶ ἐπιφραccαίατο βουλήν.
ὅ cφιν ἐὺ φρονέων ἀγορήcατο καὶ μετέειπεν·
Ἀτρείδη, νῦν δή cε ἄναξ ἐθέλουcιν Ἀχαιοὶ
πᾶcιν ἐλέγχιcτον θέμεναι μερόπεccι βροτοῖcιν,
οὐδέ τοι ἐκτελέουcιν ὑπόcχεcιν, ἥν περ ὑπέcταν
ἐνθάδ᾽ ἔτι cτείχοντεc ἀπ᾽ Ἄργεοc ἱπποβότοιο,
Ἴλιον ἐκπέρcαντ᾽ εὐτείχεον ἀπονέεcθαι.
ὥc τε γὰρ ἢ παῖδεc νεαροὶ χῆραί τε γυναῖκεc
ἀλλήλοιcιν ὀδύρονται οἶκον δὲ νέεcθαι.
ἦ μὴν καὶ πόνοc ἐcτὶν ἀνιηθέντα νέεcθαι.

---

V. l. 269 ἀπομόρξατο ACE 218, 8 Townl Eton. Cram. Epim. 13, 1. Et. Mg. 129, 7: ἀπεμόρξατο DE 216, 18; 218, 16 GHL Et. Mg. 120, 20. Et. Gud. 64, 24; 100, 44. — 270 οἳ δὲ C. γέλαcαν (c supra) D. γέλαcαν E. — 272 ὢ AH. ἔοργε ACDEGHL. — 274 νῦνδε D. τόδε ACDEGH Eton. Townl. tres Vratt. Mosc. 1. 2: τὸ δὲ Lips. Vrat. A. τὸ δὴ L. τόδ᾽ αὖ Barocc. Harl. — 276 οὐ θήν D. αὖθιc CDG. ἀνήcῃ Apoll. Lex. 7, 18. — 277 ὀνειδίοιc H 1. man. — 278 ὡc A. φᾶcαν D. δ᾽ ὁ πτολίπορθοc ACDGHL Schol. Γ 440: vulgo δὲ πτολίπορθοc, conf. Κ 363. — 279 παρα A. — 280 cιωπᾷν G. — 282 ἐπιφραcαίατο DG Draco de Metr. 65, 18. — 283 ὅ, cφιν C. ὅc cφιν GHL, ceteri ὅ cφιν. *ἐὺ φρονέων: εὖ φρονέων CDGHLS. ἐΰφρονέων A. — 286 οὐδέ τοι: οὐδέ τι CELS Rhet. Gr. III, 24, 1. — 287 ἐνθάδε γε cτείχοντεc G. cτίχοντεc D. — 289 ὥc τε CDG: ceteri ὥcτε. — 290 οἶκον δὲ A. οἶκονδε CDEHL. οἴκονδε G. — 291 omitt. H in textu.

---

A. c. 269 ἀχρεῖον: ἄχρειον Dionysius et Tyrannio. ἰδών: Φιλητᾶc τὸ ἰδὼν περιcπᾷ, οἷον τῶν ὀφθαλμῶν Aristonicus. — 272 ἦ δὴ Herodianus. — 278 Aristarchus ἀνὰ δ᾽ ὁ πτολίπορθοc: alii ἀνὰ δὲ et πτολέπορθοc. — 283 ὅ cφιν, non ὅc cφιν, Aristarchus. — 284 νῦν δή: νῦν γάρ Aristarchus, ut ex scholio Aristonici colligo.

καὶ γάρ τίς θ᾽ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
ἀσχαλάᾳ σὺν νηὶ πολυζύγῳ, ὅν περ ἄελλαι
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
ἡμῖν δ᾽ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
ἐνθάδε μιμνόντεσσι. τῶ οὐ νεμεσίζομ᾽ Ἀχαιοὺς
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
τλῆτε φίλοι, καὶ μείνατ᾽ ἐπὶ χρόνον, ὄφρα δαῶμεν,
ἢ ἐτεὸν Κάλχας μαντεύεται, ἦε καὶ οὐκί.
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
χθιζά τε καὶ πρώιζ᾽, ὅτ᾽ ἐς Αὐλίδα νῆες Ἀχαιῶν
ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι·
ἡμεῖς δ᾽ ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
ἔνθ᾽ ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
σμερδαλέος, τόν ῥ᾽ αὐτὸς Ὀλύμπιος ἧκε φόωσ δέ,
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
ἔνθα δ᾽ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
ὄζῳ ἐπ᾽ ἀκροτάτῳ, πετάλοις ὑποπεπτηῶτες,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
ἔνθ᾽ ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
μήτηρ δ᾽ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·

---

V. l. 292 θ᾽ omitt. G. ἄπο DEHL. — 293 σὺν νηί: παρὰ νηυσὶν Et. Gud. 100, 24. ὅν περ ADHL Lips. Eton.: ἥνπερ CEGS. — 294 ἰλέωσιν A. εἰλέωσιν Schol. Z 359. γρ. φορέωσι H. — 296 τῶ ACDGHL: τῷ E. — 299 ἐπὶ χρόνον libri omnes. — 300 ἤ: εἰ CDEGHLS Et. Gud. 413, 54. Cram. Epim. 301, 4. $\overset{ει}{ἤ}$ A. οὐκί: οὐχί Et. Gud. 413, 54. — 301 τόδε, non τόγε, libri mei. ἐνι A. — 303 πρωϊζὰ G. προΐζ᾽ C. — 304 τρῳσὶ L. — 305 περι AD. — 306 ἔρδομεν G. τελειέσσας D. — 307 ὑπο A. ὅθεν ἢ ὅθε E. — 308 ἐπι A. — 309 τόν ῥ᾽: τὸν δ᾽ L. φόως δέ A. φόοσδε D. — 311 ἐνθάδ᾽ D. ἔνθ᾽ ἔσαν CG. — 312, 313 omitt. H in textu. — 314 τετρηγῶτας C. — 315 ἀμφιποτᾶτο G.

---

A. c. 292 ἀπὸ Herodianus: alii ἄπο. — 297 παρὰ νηυσὶ κορώνισιν: ὅτι Ζηνόδοτος γράφει ἀσχαλάαν μιμνόντεσσι (μίμνοντ᾽ ἐπὶ νήεσσ᾽ Bekker, ex coni.) τὰ πληθυντικὰ δυϊκῶς ἐκφέρων Aristonicus. — 299 ἐπί: Zenodotus ἔτι. — 300 Aristarchus ἤ et οὐκί, conf. Scholl. ad B 238, 349. — 302 μάρτυροι: Zenodotus μάρτυρες. — 311 στρουθοῖο: στρούθοιο Chaeris. — 314 τετριγῶτας Aristarchus: Zenodotus τεττίζοντας vel τιττίζοντας, vid. Schol. Δ 412, Eust. 229, 20; 490, 40.

τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.
αὐτὰρ ἐπεὶ κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅς περ ἔφηνε·
λᾶαν γάρ μιν ἔθηκε Κρόνου πάις ἀγκυλομήτεω·
ἡμεῖς δ' ἑςταότες θαυμάζομεν, οἷον ἐτύχθη.
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰςῆλθ' ἑκατόμβας,
Κάλχας δ' αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευε·
τίπτ' ἄνεῳ ἐγένεςθε κάρη κομόωντες Ἀχαιοί;
ἡμῖν μὲν τόδ' ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
ὄψιμον, ὀψιτέλεςτον, ὅου κλέος οὔ ποτ' ὀλεῖται.
ὡς οὗτος κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
ὣς ἡμεῖς τοςςαῦτ' ἔτεα πτολεμίξομεν αὖθι,
τῷ δεκάτῳ δὲ πόλιν αἱρήςομεν εὐρυάγυιαν.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ἀλλ' ἄγε μίμνετε πάντες, ἐυκνήμιδες Ἀχαιοί,
αὐτοῦ, εἰς ὅ κεν ἄςτυ μέγα Πριάμοιο ἕλωμεν.
    ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες

---

V. l. 316 πτέρύγος H. ἀμφιαχυῖαν: ΑΜΦΙΑΧΟΥϹΑΝ Ambros. — 317 κατα AGL. τέκνα φάγε Mosc. 1: ceteri τέκν' ἔφαγε. — 318 ἀρίζηλον A Ambros. 2. man. CDEGHLS Schol. T 407: ΑΙΖΗΛΟΝ Ambros. 1. man. ἀείζηλον Apoll. Lex. 16, 29. ἀΐδηλον Et. Mg. 41, 44. θῆκε CDGHL Et. Mg. 41, 44. ὅς περ: ὥςπερ Schol. T 407. ἔφηνε ACEH. — 319 λάαν DG. πάις: libri παῖς. ἀγκυλομήτεο D. — 322 δ' omitt. GS. ἀγόρευε A Ambros. CDGHL. — 323 ἄνεῳ AEGL Et. Mg. 105, 17. Apoll. Lex. 32, 12: ἄνεω CDH. ΑΝΕΩ Ambros. κάρη κομόωντες A: ceteri καρηκομόωντες. — 324 μὲν: δὲ Et. Mg. 432, 33. μητιέτα L. — 325 ὀψιτέλευτον Vrat. b. ὅου: ὅ οὐ A. — 326 κατα ACL. τέκνα G, ceteri τέκν'. — 328 ἡμεῖς τοςςαῦτ': ἡμεῖς γε τοςαῦτ' GS Mor. τοςαῦτ' C 1. man. D. πολεμίξομεν C 1. man. πολεμίζομεν L Lips. Vrat. a. πτολεμίζομεν DE 225, 10. — 330 τὼς: θ' ὣς ACDEGHLS Et. Mg. 508, 25. θ'ὡς Cram. Epim. 234, 2. — 331 ἀλλάγε Barocc. Vrat. c. εὐκνήμιδες CDGHL. — 332 αὐτοῦ: αὐτοὶ H. εἰς ὅ κεν H: ceteri εἰςόκεν. — 333 ὡς A.

---

A. c. 316 Aristarchus πτερύγος, non πτέρυγος, conf. Cram. An. Par. III, 280, 16. Matranga. Anecd. 471. Cram. An. Ox. IV, 337, 22. — 318 ἀρίζηλον Aristarchus: ἀρίδηλον Zenodotus. — 319 ἀθετεῖται Aristonicus. Ζηνόδοτος προςέθηκεν Aristonicus ad B 318. — 323 ἄνεῳ, conf. H. T. 191. — 325 ὅου Herodianus, cf. ad α 70. ὅο Thiersch. Gr. Gr. § 148. 2. Buttm. Gramm. ampl. I, 299*. ὅο κράτος α 70. Ἰλίοο προπάροιθε Ο 66, Χ 6. ἀνεψίοο κταμένοιο Ο 554. ἀγρίοο πρόςθεν Χ 313. Αἰόλοο κλυτὰ δώματα κ 60. Αἰόλοο μεγαλήτορος κ 36. Ἰφίτοο μεγαλήτορος Β 518. Ἀςκληπίοο δύο (?) Β 731. — 330 Herodianus θ' ὣς: Aristarchus τὼς vel τόςς', conf. Cram. Epim. 234, 3. Et. Mg. 508, 26. Et. Gud. 310, 33.

cμερδαλέον κονάβηcαν ἀυcάντων ὑπ᾽ Ἀχαιῶν,
μῦθον ἐπαινήcαντεc Ὀδυccῆοc θείοιο.
τοῖcι δὲ καὶ μετέειπε Γερήνιοc ἱππότα Νέcτωρ·
ὢ πόποι, ἦ δὴ παιcὶν ἐοικότεc ἀγοράαcθε
νηπιάχοιc, οἷc οὔ τι μέλει πολεμήια ἔργα.
πῇ δὴ cυνθεcίαι τε καὶ ὅρκια βήcεται ἥμιν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ᾽ ἀνδρῶν,
cπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ᾗc ἐπέπιθμεν·
αὔτωc γάρ ῥ᾽ ἐπέεcc᾽ ἐριδαίνομεν, οὐδέ τι μῆχοc
εὑρέμεναι δυνάμεcθα πολὺν χρόνον ἐνθάδ᾽ ἐόντεc.
Ἀτρείδη, cὺ δ᾽ ἔθ᾽ ὡc πρὶν ἔχων ἀcτεμφέα βουλὴν
ἄρχευ᾽ Ἀργείοιcι κατὰ κρατερὰc ὑcμίναc,
τοῦcδε δ᾽ ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
νόcφιν βουλεύωc᾽, ἄνυcιc δ᾽ οὐκ ἔccεται αὐτῶν,
πρὶν Ἄργοc δ᾽ ἰέναι, πρὶν καὶ Διὸc αἰγιόχοιο
γνώμεναι εἴ τε ψεῦδοc ὑπόcχεcιc, εἴ τε καὶ οὐκί.
φημὶ γὰρ οὖν κατανεῦcαι ὑπερμενέα Κρονίωνα
ἤματι τῷ, ὅτε νηυcὶν ἐν ὠκυπόροιcιν ἔβαινον
Ἀργεῖοι Τρώεccι φόνον καὶ κῆρα φέροντεc,
ἀcτράπτων ἐπιδέξι᾽, ἐναίcιμα cήματα φαίνων.
τῶ μή τιc πρὶν ἐπειγέcθω οἶκον δὲ νέεcθαι,

---

V. L. 335 ἐπαινέcαντεc L. ἐπαινέccαντεc Mor. ἐπαιρήcαντεc S. — 337 ὢ: ὦ AH. — 338 μέλλει D. — 339 πῆ AE Schol. E 54, Ω 235. Rhet. Gr. III, 397, 1: ceteri πῇ. τε omitt. S Rhet. Gr. III, 397, 1. ἥμιν A: ceteri ἡμῖν. — 340 ἐμ πυρὶ Hesych. III, 101. δὴ: δὲ G. — 341 ᾗc: αἷc GL. — 342 αὔτωc DGE 232, 30; 235, 3 et 5. Schol. K 167. Hesych. I, 330. Apoll. Lex. 47, 13. γάρ ῥ᾽: γὰρ L Apoll. Lex. 47, 13. Schol. K 167. — 344 δ᾽ ἔθ᾽: δέ θ᾽ CDEGHLS Pseudoplut. 117, 40. — 345 ἄρχευ᾽: ἄρχευ L Bekk. An. 120, 28. Cram. Ep. 356, 4. Ἀργείοιcιν ἀνὰ Pseudoplut. 117, 40. ὑcμῖναc D. — 346 τοῦcδε A: ceteri τούcδε. — 347 νόcφι CDG. βουλεύωc᾽: βουλεύcωc᾽ L Vrat. a. b. A. βουλεύουcιν E 232, 42; 235, 18. αὐτῶν: αὐτοῖc Lips. suprascr. Vrat. c. — 349 εἴτε—εἴτε ACDGHS Barocc. Mor. 1. man. Cant. Vrat. b. c.: alii εἴτε—ἠὲ. scribendum videtur ἤ τε—ἦε vel ἤ τε. — 351 ἐν ADL: ἐπ᾽ CEGHS. — 352 τρῴεccι L. — 353 ἐναίcιμα: αἰνέcιμα G. — 354 τῶ ACDGL Et. Mg. 773, 46: τῷ H. οἶκον δὲ A: οἶκονδε CDEHL. οἴκονδε G. οἰκόνδε Et. Mg. 773, 46.

---

A. c. 346 τοῦcδε Herodianus. — 347 βουλεύωc᾽ Aristarchus, non βουλεύωcι (ἐκ πλήρουc), quod affirmavi H. T. 397, secutus Lehrsium Qu. Ep. p. 49. et Friedlaenderum Ariston. p. 67, nondum perspecto more scholiastae, qui propter sequens αἱ „βουλεύωcιν" pro βουλεύωc᾽ scripsit, conf. H. U. 162. — 349 οὐκί Aristarchus. — 351 pro ἐπ᾽ cum melioribus libris ἐν est scribendum, conf. adnot. ad α 211 et β 18, 27, γ 131, θ 445, ν 317, c 181.

πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι,
τίϲαϲθαι δ' Ἑλένηϲ ὁρμήματά τε ϲτοναχάϲ τε.
εἰ δέ τιϲ ἐκπάγλωϲ ἐθέλει οἶκον δὲ νέεϲθαι,
ἁπτέϲθω ἧϲ νηὸϲ ἐυϲϲέλμοιο μελαίνηϲ,
ὄφρα πρόϲθ' ἄλλων θάνατον καὶ πότμον ἐπίϲπῃ.
ἀλλὰ ἄναξ αὐτόϲ τ' εὖ μήδεο πείθεό τ' ἄλλῳ·
οὔ τοι ἀπόβλητον ἔποϲ ἔϲϲεται, ὅττί κεν εἴπω·
κρῖν' ἄνδραϲ κατὰ φῦλα, κατὰ φρήτραϲ, Ἀγάμεμνον,
ὡϲ φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοιϲ.
εἰ δέ κεν ὣϲ ἔρξῃϲ καί τοι πείθωνται Ἀχαιοί,
γνώϲῃ ἔπειθ', ὅϲ θ' ἡγεμόνων κακὸϲ ὅϲ τέ νυ λαῶν,
ἠδ' ὅϲ κ' ἐϲθλὸϲ ἔῃϲι· κατὰ ϲφέαϲ γὰρ μαχέονται·
γνώϲεαι δ', ἢ καὶ θεϲπεϲίῃ πόλιν οὐκ ἀλαπάξειϲ,
ἦ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη κρείων Ἀγαμέμνων·
ἦ μὰν αὖτ' ἀγορῇ νικᾷϲ γέρον υἷαϲ Ἀχαιῶν.
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοιοῦτοι δέκα μοι ϲυμφράδμονεϲ εἶεν Ἀχαιῶν·
τῶ κε τάχ' ἠμύϲειε πόλιϲ Πριάμοιο ἄνακτοϲ
χερϲὶν ὑφ' ἡμετέρηϲιν ἁλοῦϲά τε περθομένη τε.
ἀλλά μοι αἰγίοχοϲ Κρονίδηϲ Ζεὺϲ ἄλγε' ἔδωκεν,
ὅϲ με μετ' ἀπρήκτουϲ ἔριδαϲ καὶ νείκεα βάλλει.
καὶ γὰρ ἐγὼν Ἀχιλεύϲ τε μαχηϲάμεθ' εἵνεκα κούρηϲ
ἀντιβίοιϲ ἐπέεϲϲιν, ἐγὼ δ' ἦρχον χαλεπαίνων·
εἰ δέ ποτ' ἔϲ γε μίαν βουλεύϲομεν, οὐκέτ' ἔπειτα

---

V. l. 355 παρ D. τρώων CGL. 355—357 omitt. H in textu. — 357 οἶκον δὲ A. οἶκονδε CDEHL. οἴκονδε G. — 358 ἐϋϲέλμοιο DEGHL 1. man. εὐϲέλμοιο. C. — 360 ἀλλ' G. αὐτόϲ τε μήδεο G. — 361 οὔ τοι: οὔτι DGH. — 362 κρίν' D. κατα A bis. φρήτραϲ τ' G. Ἀγαμέμνων Vrat. c. Schol. Ζ 1. — 363 φρήτρηφιν CDE bis G. ἀρήγει D 1. man. S. φύλα D. — 364 ὡϲ A. ἔρξηϲ H. ἔρξειϲ L. καὶ ϲοὶ G. πείθονται CDH Lips. Townl. Eton. Vrat. b. A. Mosc. 1. pr. man. — 365 ὅϲ τε νυ G. ὅϲ τ' ἔνι D. — 366 κατα A. μαχέονται: μαχέοιντο Schol. A 368. — 367 ἤ: libri εἰ. — 368 ἢ A: ceteri ἤ. — 370 ἤ D. ἤ μὴν EG Rhet. Gr. III, 153, 8. ἀγορῇ: ἀρετῇ Schol. B 350. — 373 τῶ ACDHL Et. Mg. 773, 50: τῷ G Schol. Ζ 518. Apoll. Lex. 156, 13. — 375 κρατέρ' ἄλγε' ἔδωκεν S. ἔδωκεν: ἔθηκεν E. — 376 ἀπρήκταϲ S. ἀπράκτουϲ E. — 377 μαχηϲάμεθ': μαχεϲϲάμεθ' ACEGHLS. μαχεϲάμεθ' D. — 378 χαλεπαίνειν G. — 379 γε omitt. D.

---

A. c. 355 πὰρ: περ Ἀρίϲταρχοϲ καὶ τὰ ὑπομνήματα. πρίν τινι Doederl. Emend. Homer. (1858) pg. 10. — 368 ἢ Ptolemaeus: ἤ Alexio. 373 τῶ, non τῷ, Herodianus. — 377 μαχηϲάμεθ' Aristarchus.

Τρωϲὶν ἀνάβληϲιϲ κακοῦ ἔϲϲεται, οὐδ᾽ ἠβαιόν.
νῦν δ᾽ ἔρχεϲθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.
εὖ μέν τιϲ δόρυ θηξάϲθω, εὖ δ᾽ ἀϲπίδα θέϲθω,
εὖ δέ τιϲ ἵπποιϲιν δεῖπνον δότω ὠκυπόδεϲϲιν,
εὖ δέ τιϲ ἅρματοϲ ἀμφὶϲ ἰδὼν πολέμοιο μεδέϲθω,
ὥϲ κε πανημέριοι ϲτυγερῷ κρινώμεθ᾽ ἄρηι.
οὐ γὰρ παυϲωλή γε μετέϲϲεται, οὐδ᾽ ἠβαιόν,
εἰ μὴ νὺξ ἐλθοῦϲα διακρινέει μένοϲ ἀνδρῶν.
ἱδρώϲει μέν τευ τελαμὼν ἀμφὶ ϲτήθεϲϲιν
ἀϲπίδοϲ ἀμφιβρότηϲ, περὶ δ᾽ ἔγχεϊ χεῖρα καμεῖται·
ἱδρώϲει δέ τευ ἵπποϲ ἐύξοον ἅρμα τιταίνων.
ὃν δέ κ᾽ ἐγὼν ἀπάνευθε μάχηϲ ἐθέλοντα νοήϲω
μιμνάζειν παρὰ νηυϲὶ κορωνίϲιν, οὔ οἱ ἔπειτα
ἄρκιον ἐϲϲεῖται φυγέειν κύναϲ ἠδ᾽ οἰωνούϲ.
ὣϲ ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ὡϲ ὅτε κῦμα
ἀκτῇ ἐφ᾽ ὑψηλῇ, ὅτε κινήϲῃ νότοϲ ἐλθών,
προβλῆτι ϲκοπέλῳ· τὸν δ᾽ οὔ ποτε κύματα λείπει
παντοίων ἀνέμων, ὅτ᾽ ἂν ἔνθ᾽ ἢ ἔνθα γένωνται.
ἀνϲτάντεϲ δ᾽ ὀρέοντο κεδαϲθέντεϲ κατὰ νῆαϲ,
κάπνιϲϲάν τε κατὰ κλιϲίαϲ καὶ δεῖπνον ἕλοντο.
ἄλλοϲ δ᾽ ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων
εὐχόμενοϲ θάνατόν τε φυγεῖν καὶ μῶλον ἄρηοϲ.
αὐτὰρ ὁ βοῦν ἱέρευϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
πίονα πενταέτηρον ὑπερμενέι Κρονίωνι,
κίκληϲκεν δὲ γέρονταϲ ἀριϲτῆαϲ Παναχαιῶν,

---

V. L. 380 τρωϲὶ D. τρῳϲὶν L. — 383 ἵπποιϲι EGH. ὠκυπόδεϲϊν G. — 385 ὥϲ κε: ὥϲτε Vrat. a. — 387 διακρίνει (ε supra) A. διακρινέῃ S. — 388 ἱδρώϲει D. μέν τευ: μέν τ᾽ εὖ Rhet. Gr. III, 131, 28. ϲτήθεϲϲιν: ϲτήθεϲφιν ACL. ϲτήθεϲφιν (ϲ supra) H. ϲτήθεϲφι Eton. Vrat. b. c. Mosc. 1. ϲτήθεϲιν E. — 389 περι A. παρὰ H. ἔγχει χεῖρα παρεῖται Rhet. Gr. III, 131, 28. — 390 εὔξοον D. — 391 δέ κ᾽: δ᾽ ἂν E Vrat. a. Δ᾽ ΑΝ Ambros. cf. A 549. ἐθέλοντα: πτώϲϲοντα Aristot. Ethic. Nicom. III, 11. — 395 ὅ, τε G. κινήϲει CEHL Pseudoplut. 124, 14. — 396 τὸν δ᾽: ὅν γ᾽ G. — 397 ὅτ᾽ ἂν: ὅταν CE bis L Pseudoplut. 124, 14. ΟΤΑΝ Ambros. — 398 δ᾽ ὀρέοντο D. δ᾽ ὀρόωντο C. κατὰ: ἐπὶ E. — 399 κάπνιϲάν CDEHL Schol. Σ 207. Et. Mg. 489, 53. — 400 ἔρεζε: ἔρεξε Vrat. b. Schol. E 372. αἰεὶ γενετάων Vrat. c. — 402 ὃ ACDGHL Et. Mg. 204, 4. — 404 κίκληϲκε DG.

---

A. c. 380 οὐδ᾽ ἠβαιόν: alii οὐ δὴ βαιόν. — 397 γένωνται Aristarchus: alii γένηται. — 398 ἀνϲτάντεϲ Aristarchus, cf. H. T. 394.

Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα ἄνακτα,
αὐτὰρ ἔπειτ᾽ Αἴαντε δύω καὶ Τυδέος υἱόν,
ἕκτον δ᾽ αὖτ᾽ Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον.
αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος·
ᾔδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.
βοῦν δὲ περίστησάν τε καὶ οὐλοχύτας ἀνέλοντο.
τοῖσιν δ᾽ εὐχόμενος μετέφη κρείων Ἀγαμέμνων·
Ζεῦ κύδιστε μέγιστε, κελαινεφές, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
πρίν με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηίοιο θύρετρα,
Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
χαλκῷ ῥωγαλέον· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.
ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα πώ οἱ ἐπεκραίαινε Κρονίων,
ἀλλ᾽ ὅ γε δέκτο μὲν ἱρά, πόνον δ᾽ ἀμέγαρτον ὄφελλεν.
αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
μηρούς τ᾽ ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.
καὶ τὰ μὲν ἂρ σχίζῃσιν ἀφύλλοισιν κατέκαιον,
σπλάγχνα δ᾽ ἄρ᾽ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο.
αὐτὰρ ἐπεὶ κατὰ μῆρα κάη καὶ σπλάγχνα πάσαντο,

---

V. ι. 406 δύο DE. τυδέῳς C. — 407 δ᾽ omitt. D. αὖθ᾽ C. ὀδυσσῆα DG. — 408 δέ γε ἦλθε G. — 410 * περίστησάν τε: περιστήσαντο ACDE GHLS. — 411 τοῖσι CDGHL Vrat. b. — 413 ἐπηέλιον C. ἐπι AC. — 414 καταπρηνὲς ACDEGHL Schol. B 400. — 416 δαΐξαι: δάϊξον H. — 419 ὡς A. πῶ C. πω G. ἐπεκρέαινε DH. ἐπϊκραίενε L. — 420 ὅγε, δέκτο C. ἱερὰ GH. πόνον: φόνον Et. Gud. 44, 16. — 421 προβάλοντο ACDEHL: ἀνέλοντο GS, cf. A 449. — 422 αὐέρυσαν AG: αὖ ἔρυσαν CDEHLS Et. Mg. 533, 50, cf. A 459. πρῶτον C. — 423 κνίσῃ: κνίσσῃ C. κνίσσῃ DL. — 425 μὲν ῥα H. ἂρ omitt. D. ἀφύλλοισι CDE. — 426 ἂρ ADEGH Apoll. Lex. 85, 12. ἀμπείραντες: ἐμπείραντες E 136, 18 G Schol. A 591. ὑπήρεχον D. — 427 κατα ACDL. μῆρ᾽ ἐκάη καὶ σπλάγχν᾽ ἐπάσαντο libri.

---

A. c. 410 περίστησάν τε Bekk. ex coniectura hic et μ 356, conf. Δ 532. — 412 ἔν τισι γέγραπται „Ζεῦ πάτερ Ἴδηθεν μεδέων [κύδιστε, μέγιστε]“ ut Γ 320. — 415 πρῆσαι: ἐν ταῖς πλείσταις διὰ τοῦ λ πλῆσαι, καὶ αἱ Ἀριστάρχου Didymus. — 420 ἀμέγαρτον: ἀλίαστον Aristarchus. — 423 κνίσῃ Herodianus: κνίση (οὐδετέρως) Aristarchus. — 427 μῆρα κάη: Ptolemaeus μῆρε κάη. Aristarchus σπλάγχνα πάσαντο, cf. ad A 464.

μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
μηκέτι νῦν δήθ᾽ αὖθι λεγώμεθα, μηδ᾽ ἔτι δηρὸν
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.
ἀλλ᾽ ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
ἡμεῖς δ᾽ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
ἴομεν, ὄφρά κε θᾶσσον ἐγείρομεν ὀξὺν ἄρηα.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
κηρύσσειν πόλεμον δὲ κάρη κομόωντας Ἀχαιούς.
οἳ μὲν ἐκήρυσσον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα.
οἳ δ᾽ ἀμφ᾽ Ἀτρείωνα διοτρεφέες βασιλῆες
θῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη
αἰγίδ᾽ ἔχουσ᾽ ἐρίτιμον ἀγήρων ἀθανάτην τε·
τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται,
πάντες ἐυπλεκέες, ἑκατόμβοιος δὲ ἕκαστος.
σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν,
ὀτρύνουσ᾽ ἰέναι· ἐν δὲ σθένος ὦρσεν ἑκάστῳ

---

V. l. 428 τἆλλα: τ᾽ ἄλλα CDGH. τἄλλα A. ἀμφοβελοῖσιν A. — 432 ἐξέρον CH. ἕντο DGH. ἔντο L. — 433 τοῖς ἄρα: τοῖσι δὲ S Cant. — 434 ἀγαμέμνων L. — 435 μηκέτι: μὴ κέτι D. δηθὰ G. δῆτ᾽ C 1. man. L. μηδ᾽ ἔτι: μὴ δ᾽ ἔτι CDL. μὴ δέ τι S Et. Mg. 79, 46. μηδέ τι AH. — 436 ἀμβαλώμεθα D. ἐγγυαλίζει A: ἐγγυαλίξει CE 250, 36 et 44; 251, 5 GHS. ἐγγυαλίξει (οι) L. ἐγγυαλύξει D. — 439 ᾧδε Cram. Epim. 19, 15. — 440 ἴωμεν G. ὄφρά κε CH Zonar. Lex. 239. ὄφρα καὶ E. θάσσον D. ἐγείρομεν: ἀγείρομεν L. — 441 ἀπείθησεν DG. — 442 κέλευσε ACDH Vrat. b. κέλευσεν L. κέλευε G. — 443 πόλεμον δὲ AH. κάρη κομόωντας A Lips — 444 οἳ μὲν D. κήρυσσον S. — 446 θύνον G. μετα D. — 447 ἀγήρων: ἀγήραον ACDEGHS. ἀγήρω τ᾽ L. — 448 ἠερέθοντο GHS. — 449 εὐπλεκέες DH. ἑκατόμβιος L. — 450 πεφάσσουσα G. — 451 ἑκάστῳ: ἑκάστου Pseudoplut. 136, 41.

---

A. c. 435 δήθ᾽ αὖθι Aristarchus: δὴ ταῦτα Zenodotus. δὴ νῦν αὖθι Callistratus. — 436 ἐγγυαλίζει Aristarchus, Apollon. Rhodius, Aristophanes. — 447 ἀγήρων Aristarchus cum Aristophane. — 448 ἠερέθονται: ἠερέθοντο Zenodotus.

καρδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
τοῖϲι δ᾽ ἄφαρ πόλεμοϲ γλυκίων γένετ᾽ ἠὲ νέεϲθαι
ἐν νηυϲὶ γλαφυρῇϲι φίλην ἐϲ πατρίδα γαῖαν.
ἠύτε πῦρ ἀίδηλον ἐπιφλέγει ἄϲπετον ὕλην
οὔρεοϲ ἐν κορυφῇϲ, ἕκαθεν δέ τε φαίνεται αὐγή,
ὣϲ τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεϲπεϲίοιο
αἴγλη παμφανόωϲα δι᾽ αἰθέροϲ οὐρανὸν ἷκε.
τῶν δ᾽, ὥϲ τ᾽ ὀρνίθων πετεηνῶν ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
Ἀϲίῳ ἐν λειμῶνι Καϋϲτρίου ἀμφὶ ῥέεθρα
ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεϲϲι,
κλαγγηδὸν προκαθιζόντων, ϲμαραγεῖ δέ τε λειμών,
ὣϲ τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλιϲιάων
ἐϲ πεδίον προχέοντο Ϲκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν
ϲμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων.
ἔϲταν δ᾽ ἐν λειμῶνι Ϲκαμανδρίῳ ἀνθεμόεντι
μυρίοι, ὅϲϲά τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.
ἠύτε μυιάων ἁδινάων ἔθνεα πολλά,
αἵ τε κατὰ ϲταθμὸν ποιμνήιον ἠλάϲκουϲιν

---

V. l. 452 κραδίῃ CGL. ἄληκτον CDEGH. — 456 κορυφῇϲ: κορυφῇ E 243, 45 G. κορυφῇιϲ᾽ D. κορυφαῖϲ E 253, 41, conf. N 179, Π 634. ἐκ κορυφῇϲ Vrat. a. φαίνεται: φαίνετο L. — 457 ὡϲ A. τῶν: τῶνδ᾽ Vrat. a. — 458 παμφανόεϲϲα H. ἶκε CEL: ἶκεν ADG. ἧκε H. ἧκεν Schol. N 837. — 459 καὶ ὥϲ τ᾽ ὀρνίθων G. — 461 Ἀϲίω ADHLS Schol. Aristoph Acharn. 68. Strabo XIV, 650: Ἀϲίῳ CEG Strabo XIII, 627. Schol. Apoll. Rhod. II, 777. ἀμφι A. — 462 ποτῶνται: πέτονται Pseudoplut. 114, 36. ἀγαλλόμενα AE 255, 7 et 16 GH Eton. 1. man. Barocc. Vrat. b. c. A.: ἀγαλλόμεναι CDL Pseudoplut. 114, 36. Eust. 44, 22; 254, 14; 255, 6; 531, 29. ἀγαλλόμενα (αι sup.) S. πτερύγεϲϲι CEH. — 464 ὡϲ A. — 465 Ϲκαμάνδριον: καμάνδριον GL Mor. Harl. Lips. Townl. ὑπο ACDL. — 466 κονάβηϲε S. — 467 λιμῶνι (ει sup.) D. καμανδρίῳ C post ras. GL Mor. Harl. Lips. Townl. — 468 ὅϲϲά τε CH. φύλλα: φῦλα H. * γίγνεται: γίνεται ACDEGL Lucianus XV, 42. Schol. ι 51. γείνεται H. ὥρᾳ G. γρ. ἦρι L man. rec. — 469 ἀδινάων A: ceteri ἁδινάων. — 470 κατα A. εἰλάϲκουϲιν L et sup. γρ. ἠ.

---

A. c. 452 ἄληκτον Aristarchus? vid. H. T. 389. — 453, 454 asterisci. οὐκ ὀρθῶϲ Λ 13, 14. — 461 Ἀϲίω Aristarchus, Ptolem. Ascalonita, Herodianus, conf. Schol BDLV. Matranga. Anecd. 477. Eust. 254, 16. Cram. Epim. 20, 19. An. Par. III, 7, 30. Et. Mg. 153, 42. Et. Gud. 83, 36. Schol. Aristoph. Acharn. 68. Ἀϲίῳ defendit G. Hermann. ad Hymn. in Apoll. 250. — 462 Aristarchus ἀγαλλόμενα, non ἀγαλλόμεναι. — 463 λειμών: γαῖα Aristarchus (?), conf. Schol. V. — 465 Καμάνδριον, cf. H. U. pg. 43.

UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει,
τόσσοι ἐπὶ Τρώεσσι κάρη κομόωντες Ἀχαιοὶ
ἐν πεδίῳ ἵσταντο διαρραῖσαι μεμαῶτες.
τοὺς δ', ὥς τ' αἰπόλια πλατέ' αἰγῶν αἰπόλοι ἄνδρες
ῥεῖα διακρίνωσιν, ἐπεί κε νομῷ μιγέωσιν,
ὣς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα
ὑσμίνην δ' ἰέναι, μετὰ δὲ κρείων Ἀγαμέμνων,
ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.
ἠύτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
ταῦρος· ὃ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι·
τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ,
ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν.
ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὑμεῖς γὰρ θεαί ἐστε, πάρεστέ τε, ἴστέ τε πάντα,
ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν οὐδέ τι ἴδμεν,
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.
πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν,
φωνὴ δ' ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη,
εἰ μὴ Ὀλυμπιάδες μοῦσαι, Διὸς αἰγιόχοιο
θυγατέρες, μνησαίαθ' ὅσοι ὑπὸ Ἴλιον ἦλθον.
ἀρχοὺς αὖ νηῶν ἐρέω νῆάς τε προπάσας.
Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήιτος ἦρχον

V. l. 471 εἰαρινῇ γε ὅτε γλάγος G. τε omitt. H. δεύῃ L. — 472 ἔπι A. τρώεσσι GL. κάρη κομόωντες A: ceteri καρηκομόωντες. — 475 διακρίνουσιν G Barocc. διακρινέωσιν L. — 476 ὡς A. τούς γ' G. — 478 κεφαλῇ Schol. Γ 168. ἴκελος GH. εἴκελος L Schol. Γ 168. — 479 Ἄρει Schol. B 11. — 480 ἀγέληφι EG Rhet. Gr. III, 200, 9. Pseudoplut. 128, 44. Eust. 1111, 34. — 481 δ CDHL. ἀγρομένῃσι AD. ἀγρομένοισι CGH. 2. man. — 482 τοῖον δ' H. ἄρ AG. θῆκεν GH. — 483 εὐπρεπέ' (εκ superscr.) S. εὐπρεπέ' Cant. ἡρώεσσι C. — 484 ἔσπετε H. sequitur in H v. 487, qui suo loco est omissus. — 485 θεαὶ ἐστὲ, πάρεστε καὶ ἴστε πάντα G. — 487 omitt. C. — 489 εἶεν: ἦεν Cram. An. Ox. IV, 318, 1. — 490 φωνή τ' Bekk. An. 771, 21. — 494—877 omitt. D Townl.

A. c. 484 Ὀλύμπια δώματ' ἔχοντες: Ὀλυμπιάδες βαθύκολποι Zenodotus, conf. Eust. 260, 27 et 46. Schol. V ad Σ 339. Ariston. ad Ω 215. — 489 ἡ ἀναφορὰ πρὸς τοὺς περιγράφοντας τούτους τοὺς στίχους (484—493?). de voce περιγράφειν vide Scholl. γ 245, 400, λ 525. Eust. 1480, 24 περιγράφει, ἤγουν ἀθετεῖ, ἐκβάλλει.

Ἀρκεϲίλαόϲ τε Προθοήνωρ τε Κλονίοϲ τε,
οἵ θ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεϲϲαν
Ϲχοῖνόν τε Ϲκῶλόν τε πολύκνημόν τ' Ἐτεωνόν,
Θέϲπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαληϲϲόν,
οἵ τ' ἀμφ' Ἅρμ' ἐνέμοντο καὶ Εἰλέϲιον καὶ Ἐρύθραϲ,
οἵ τ' Ἐλεῶν' εἶχον ἠδ' Ὕλην καὶ Πετεῶνα,
Ὠκαλέην Μεδεῶνά τ', ἐυκτίμενον πτολίεθρον,
Κώπαϲ Εὔτρηϲίν τε πολυτρήρωνά τε Θίϲβην,
οἵ τε Κορώνειαν καὶ ποιήενθ' Ἁλίαρτον,
οἵ τε Πλάταιαν ἔχον ἠδ' οἳ Γλιϲᾶντα νέμοντο,
οἵ θ' Ὑποθήβαϲ εἶχον, ἐυκτίμενον πτολίεθρον,
Ὀγχηϲτόν θ' ἱερόν, Ποϲιδήιον ἀγλαὸν ἄλϲοϲ,
οἵ τε πολυϲτάφυλον Ἄρνην ἔχον, οἵ τε Μίδειαν
Νῖϲάν τε ζαθέην Ἀνθηδόνα τ' ἐϲχατόωϲαν·

---

V. ι. 495 κλόνϊόϲ CGL. — 497 πολύκνημόν: πολύκρημνόν Bekk. An. 865, 25. — 498 θέϲπῖαν A. θέϲπιαν E. θεϲπίαν H 1. man., ceteri Θέϲπειαν cum Pausania IX, 20, 2 et Strabone VIII, 376. εὐρύχωρον GH. μυκαληϲόν G. — 499 οἳ δ' Apoll. Lex. 44, 29. ἐρυθράϲ ACL. — 500 ἔχον L. ἠδ': ἰδ' C Eton. Lips. Vrat. c. — 501 εὐκτίμενον EH. — 503 ποιήεντ' ἁλίαρτον L Bekk. Anecd. 865, 27. — 504 Γλιϲᾶντα νέμοντο: γλιϲᾶντ' ἐνέμοντο ACG. γλιϲᾶν ἐνέμοντο Lips. γλίϲϲαντ' ἐνέμοντο E 264, 1; 269, 19 L. γλιϲϲάντ' ἐνέμοντο H. γλίϲαντ' ἐνέμοντο Eton. Vrat. b. A. Mosc. 1. — 505 ὑπὸ θήβαϲ CE 269, 28 L Strabo IX, 412. — 506 Ὀγχηϲτόν ALS Eust. Schol. Λ 700. Schol. Pind. Ol. III, 26; 41; Isthm. I, 44. Strabo: vulgo Ὄγχηϲτόν. Ποϲειδήϊον EGL. ἀγλαὸν ἄϲτυ Schol. Apoll. Rhod. III, 1242. — 508 Νῖϲάν: νίϲϲαν LS. νιϲϲάν H. νίϲαν Mosc. 1. νιϲᾶν Lips. Eton.

---

A. c. 496 οἵ θ' Ὑρίην: τινὲϲ οὐ ϲύνδεϲμον ἐνόηϲαν ἐνταῦθα τὸν τε, ἀλλὰ Θυρίην πόλιν ὑπέλαβον εἶναι, conf. Schol. A. οἱ δὲ Θυρίην γράφοντεϲ ἁμαρτάνουϲιν Schol. BL. — 498 Θέϲπειαν Herodianus in cathol. prosodia: in pros. Hom. Θέϲπιαν, conf. Schol. A. Matranga. Anecd. 426. Cram. An. Par. III, 137, 6; 351, 8. γράφεται δὲ κοινῶϲ διὰ τοῦ ῑ ἡ παραλήγουϲα, Ἡρωδιανὸϲ δὲ ἐν τῇ καθόλου προϲῳδίᾳ τὴν ει δίφθογγον χαρίζεται αὐτῇ Eust. 265, 42. Θέϲπειαν Orus apud Cram. Epim. 370, 27. — 499 Ἐρύθραϲ βαρυτόνωϲ Schol. D: Ἐρυθρὰϲ Apio et Herodorus teste Eust. 267, 3. — 502 Θίϲβην: Μέϲϲην Zenodotus, cf. 582. — 503 Γλιϲᾶντα: ἡ ϲυνήθεια προπεριϲπᾷ τὸ ὄνομα, ἡ δὲ ἱϲτορία περιϲπᾷ (corrige προπαροξύνει) Schol. BL. ἡ μὲν ϲυνήθεια προπεριϲπᾷ Γλιϲϲᾶντα λέγουϲα, ἡ δὲ ἱϲτορία προπαροξύνει τὸ ὄνομα Eust. 269, 20. conf. Schol. D. Bekk. An. 1235, 4. Schol. Μ 20. H. T. 119. — 505 οἱ πλείουϲ οὐ νοοῦϲιν „ὑπὸ Θήβαϲ“ ἐν δυϲὶ μέρεϲι λόγου, ἀλλὰ ὑφὲν Ὑποθήβαϲ λέγοντεϲ Eust. 269, 28. — 507 Ἄρνην: Zenodotus Ἄϲκρην, conf. Schol. Η 9. Eust. 270, 37. Strabo IX, 413. Cram. An. Par. III, 193, 17. τοὺϲ δὲ γράψανταϲ „Τάρνην“ ἀντὶ Ἄρνηϲ αἰτιῶνται οἱ παλαιοί Eust. 270, 40. οὐκ εὖ δὲ οὐδὲ οἱ Τάρνην ἀντὶ τῆϲ Ἄρνηϲ γράφοντεϲ Strabo IX, 413. ἔνιοι πιθανῶϲ μεταγράφουϲι πολυϲτάφυλον Τάρνην Schol. D. — 508 Νῖϲαν: οἴονται δέ τινεϲ δεῖν γράφειν „Ἶϲόν τε ζαθέην“. τινὲϲ δὲ γρά-

τῶν μὲν πεντήκοντα νέες κίον, ἐν δὲ ἑκάστῃ
κοῦροι Βοιωτῶν ἑκατὸν καὶ εἴκοσι βαῖνον.
οἳ δ' Ἀσπληδόνα ναῖον ἰδ' Ὀρχομενὸν Μινύειον,
τῶν ἦρχ' Ἀσκάλαφος καὶ Ἰάλμενος, υἷες Ἄρηος,
οὓς τέκεν Ἀστυόχη δόμῳ Ἄκτορος Ἀζεΐδαο,
παρθένος αἰδοίη, ὑπερώιον εἰσαναβᾶσα,
Ἄρηι κρατερῷ· ὃ δέ οἱ παρελέξατο λάθρῃ.
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,
υἱέες Ἰφίτου μεγαθύμου Ναυβολίδαο,
οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν
Κρῖσάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα,
οἵ τ' Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο,
οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφισὸν δῖον ἔναιον,
οἵ τε Λίλαιαν ἔχον πηγῇς ἔπι Κηφισοῖο·
τοῖς δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ μὲν Φωκήων στίχας ἵστασαν ἀμφιέποντες,
Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο.

---

V. L. 511 ἀσπληδόν' ἔναιον CEG Barocc. Eton. Mosc. 1. ἀσπλήδον' ἔναιον Vrat. b. — 512 τῶνδ' ἦρχ' Cant. — 514 εἰς, ἀναβᾶσα A Schol. Π 13. — 515 ὅ δέ οἱ H. — 516 τοῖς: τῶν HLS Eust. 276, 31. $\overset{οις}{τῶν}$ A. τοῖσδε τριάκοντα G. — 517 $\overset{ει}{φωκήων}$ H. σχέδιος GL. — 518 υἱέες: υἷες GS. — 520 Κρῖσάν ACGH Eton. Vrat. b. Et. Mg. 515, 20: κρίσαν Laud. κρίσσαν ELS. — 522 παρ A. κηφισὸν ACGHL 1. man. Eton. Vrat. a. b. Mosc. 1. Lips. Strabo XIII, 590. Pausanias X, 38, 7: κηφισσὸν L ex corr. ἔναιον: ἔβαινον L. — 523 πηγῆς: πηγαῖς G. πηγῆς E. ἔπι E Strabo IX, 407; 424: ἐπι A. ἐπὶ CGHL. — κηφισσοῖο EL Strabo IX, 407; 424. — 524 δ' omitt. L. τεσσεράκοντα A. τετταράκοντα L. — 525 ἵστασαν AGH Eton.: ἔστασαν L. ἕστασαν CS. — 526 ἐπαριστερὰ A. θωρήσοντο L. θωρύσσοντο G.

---

φουσι „Κρεῦσάν τε ζαθέην". ἄλλοι δὲ „Φαράς τε ζαθέας". γράφουσι δὲ καὶ τοῦτο „Νῦσάν τε ζαθέην" Strabo IX, 405. Easdem quattuor lectiones affert Eust. 271, 5, sed Φηράς pro Φαράς.

A. c. 514 εἰς ἀναβᾶσα Herodianus. — 516 τοῖς, non τῶν, Aristarchus. — 517 Φωκήων et Φωκείων Aristarchus διχῶς, cf. Eust. 273, 42. — 520 Κρῖσαν: οὐκ ἠγνόηται δὲ οὐδ' ὅτι τινὲς τὴν Κρίσσαν δι' ἑνὸς σ̄ γράφουσι περισπῶντες τὴν ἄρχουσαν Eust. 273, 28. Πανοπῆα: Ζηνόδοτος γράφει „καὶ Πανοπτέων" ἄμετρον ποιῶν τὸν στίχον Aristonicus. ὁ Ζηνόδοτος ἐν τῷ „καὶ Δαυλίδα καὶ Πανοπῆα" γράφει καὶ Πανόπεων ὡς Μενέλεων Eust. 274, 35. — 521 Ἀνεμώρειαν: τινὲς δὲ Ἀνεμώλειαν καλοῦσιν Strabo IX, 424. — 523 ἔπι Ptolemaeus et Pamphilus: ἐπὶ Alexio cum Aristarcho.

Λοκρῶν δ' ἡγεμόνευεν Ὀιλῆος ταχὺς Αἴας,
μείων, οὔ τι τόςος γε ὅςος Τελαμώνιος Αἴας,
ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ,
ἐγχείῃ δ' ἐκέκαςτο Πανέλληνας καὶ Ἀχαιούς·
οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε
Βῆςςάν τε Ϲκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς
Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα·
τῷ δ' ἅμα τεςςαράκοντα μέλαιναι νῆες ἕποντο
Λοκρῶν, οἳ ναίουςι πέρην ἱερῆς Εὐβοίης.
οἳ δ' Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες,
Χαλκίδα τ' Εἰρέτριάν τε πολυςτάφυλόν θ' Ἱςτίαιαν
Κήρινθόν τ' ἔφαλον Δίου τ' αἰπὺ πτολίεθρον,
οἵ τε Κάρυςτον ἔχον ἠδ' οἳ Ϲτύρα ναιετάαςκον·
τῶν αὖθ' ἡγεμόνευ' Ἐλεφήνωρ, ὄζος Ἄρηος,
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.
τῷ δ' ἅμ' Ἄβαντες ἕποντο θοοί, ὄπιθεν κομόωντες,
αἰχμηταί, μεμαῶτες ὀρεκτῇςιν μελίῃςι
θώρηκας ῥήξειν δηίων ἀμφὶ ςτήθεςςι·
τῷ δ' ἅμα τεςςαράκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δ' ἄρ' Ἀθήνας εἶχον, ἐυκτίμενον πτολίεθρον,
δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
θρέψε, Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα,

V. L. 527 ὁ ἰλῆος G. — 529 μείων: μείζων H. λινοθώραξ CG. — 531 οἳ κύρνον L. οἵτε κύνον ἐνέμοντο G. — 532 βῆςαν GL Laud. Vrat. b. Mosc. 1. βῆςάν H. ςβῆςςάν C Eton. ςκαφήν τε H. — 534 τῶν δ' ἅμα G. νῆες ἕποντο μέλαιναι G. — 535 νέουςι A. πέραν G. — 536, 537 Strabo I, 40 et X, 453 in unum contraxit οἳ δ' Εὔβοιαν ἔχον καὶ Χαλκίδα τ' Εἰρέτριάν τε. — 537 τ' ἰςτίαιαν A. — 540 τῶν δ' αὖ G. — 542 ὄπιςθεν E 281, 17 GH. — 543 ὀρεκτῇςι EGHL. μελίῃςι CEH. — 544 ῥήξειν: ῥήςςειν Strabo X, 448. ῥῆξε (i. e. ῥῆξαι) Bekk. An. 836, 9. ἀμφι A. ςτήθεςςι ACGH. ςτήθεςιν E. ςτήθεςφιν L Bekk. An. 836, 9. — 546 οἱ A. ἆρ AGH.

A. c. 527 Ὀιλῆος Aristarchus: ὁ Ἰλῆος Zenodotus, conf. H. T. 322. — 528—530 ἀθετοῦνται Schol. D. — 528 Ζηνόδοτος ἠθέτηκεν αὐτόν Aristonicus. — 529, 530 ἀθετοῦνται ἀμφότεροι Aristonicus. — 530 Ἀρίςταρχος ἀθετεῖ Schol. A ad I 395. In codice A soli 529, 530 obelo notantur. — 532 Βῆςςάν Herodianus teste Eustath. 277, 31: Βῆςαν Zenodotus, conf. Eust. 1871, 55. Strabo IX, 426. — 537 ἡ δὲ Ἱςτίαια προπαροξυτόνως μὲν κατὰ τοὺς ἀκριβεςτέρους ἀναγινώςκεται Eust. 280, 13. — 544 δηίων: οἱ παλαιοὶ ἀξιοῦςι δῄων ἀναγινώςκειν διςυλλάβως δίχα ἐκφωνήςεως τοῦ ῑ Eust. 282, 29; idem 1923, 50, conf. Kayser. de vers. aliquot Hom. Odyss. disp. II (1857), pg. 13.

κὰδ δ᾽ ἐν ᾽Αθήνῃϲ εἷϲεν ἑῷ ἐν πίονι νηῷ·
ἔνθα δέ μιν ταύροιϲι καὶ ἀρνειοῖϲ ἱλάονται
κοῦροι ᾽Αθηναίων περιτελλομένων ἐνιαυτῶν·
τῶν αὖθ᾽ ἡγεμόνευ᾽ υἱὸϲ Πετεῶο Μενεϲθεύϲ.
τῷ δ᾽ οὔ πώ τιϲ ὁμοῖοϲ ἐπιχθόνιοϲ γένετ᾽ ἀνὴρ
κοϲμῆϲαι ἵππουϲ τε καὶ ἀνέραϲ ἀϲπιδιώταϲ.
Νέϲτωρ οἶοϲ ἔριζεν· ὃ γὰρ προγενέϲτεροϲ ἦεν.
τῷ δ᾽ ἅμα πεντήκοντα μέλαιναι νῆεϲ ἕποντο.
Αἴαϲ δ᾽ ἐκ Ϲαλαμῖνοϲ ἄγεν δυοκαίδεκα νῆαϲ.
[ϲτῆϲε δ᾽ ἄγων ἵν᾽ ᾽Αθηναίων ἵϲταντο φάλαγγεϲ.]
οἳ δ᾽ Ἄργόϲ τ᾽ εἶχον Τίρυνθά τε τειχιόεϲϲαν,
Ἑρμιόνην ᾽Αϲίνην τε, βαθὺν κατὰ κόλπον ἐχούϲαϲ,
Τροιζῆν᾽ ᾽Ηϊόναϲ τε καὶ ἀμπελόεντ᾽ ᾽Επίδαυρον,
οἵ τ᾽ ἔχον Αἴγιναν Μάϲητά τε κοῦροι ᾽Αχαιῶν,
τῶν αὖθ᾽ ἡγεμόνευε βοὴν ἀγαθὸϲ Διομήδηϲ
καὶ Ϲθένελοϲ, Καπανῆοϲ ἀγακλειτοῦ φίλοϲ υἱόϲ·
τοῖϲι δ᾽ ἅμ᾽ Εὐρύαλοϲ τρίτατοϲ κίεν, ἰϲόθεοϲ φώϲ,

V. L. 549 κὰδδ᾽ A. Apoll. de Pron. 135 C. καδδ᾽ CG. ἀθήνηϲ᾽ H. ἀθήναιϲ G. ἐν πίονι ACHS Cant. Eton. Laud. Vrat. a. b. νηῷ: δήμῳ L. — 550 ἱλάονται S. — 552 τῶν δ᾽ αὖθ᾽ C. τῶνδ᾽ αὖ G Barocc. Eton. Πετεῷο E 283, 38; 284, 30. — 553 τῷ οὔ πώ τιϲ Schol. Λ 506: libri τῷ δ᾽ οὔπω τιϲ. — 554 κοϲμῆϲαι θ᾽ L. — 555 νέϲτωρ δ᾽ L. ὃ ACGHL. — 557 δυοκαίδεκα G. δύο καὶ δέκα Athen. X, 458. Cram. An. Par. I, 287, 3. — 558 omitt. AH in textu Cant. in t. Vrat. b.: habent CGH 2. man. in marg. LS. adnotatum in marg. cod. C man. rec. οὗτοϲ ὁ ϲτίχοϲ τοῦ ϲόλωνοϲ τοῦ ϲαλαμινίου ϲοφοῦ ἐκ τῶν ἑπτὰ ἑνόϲ. ἵϲταντο: ϲτήϲαντο L. — 559 οἱ A. τ᾽ εἶχον: εἶχον Eust. 246, 46. Et. Mg. 136, 7. τειχιόεϲϲαν: τειχήεϲϲαν L 2. man. Schol. Ψ 741. — 560 ᾽Αϲίνην: ᾽Αϲίην Et. Mg. 376, 44. κατα A. — 561 τροίζην᾽ A. τροίζην C. — 562 οἵ τ᾽ ἔχον: νῆϲόν τ᾽ Vitt. Script. Gr. ed. Westerm. 44, 86. αἴγειναν H. μάϲϲητά L. — 563 τῶν δ᾽ CG. αὖθ᾽: αὖ G. add. Vitt. Script. l. l. Τυδείδηϲ οὗ πατρὸϲ ἔχων μένοϲ Οἰνείδαο. — 565 Εὐρύαλοϲ: Vitt. Scr. l. l. Εὐρύπυλοϲ et 567 ἐκ πάντων δ᾽ ἡγεῖτο.

A. c. 553—555 Ζηνόδοτοϲ ἠθέτηκεν Aristonicus. — 556, 557 Megarenses legebant „ἄγεν νέαϲ ἔκ τε Πολίχνηϲ ἔκ τ᾽ ᾽Αγειρούϲϲηϲ Νιϲαίηϲ τε Τριπόδων τε", conf. Strab. IX, 394. Eust. 285, 10. — 557 Herodianus δυοκαίδεκα: δύο καὶ δέκα Pamphilus. ἄγεν δυοκαίδεκα: alii ἄγε τριϲκαίδεκα teste Eust. 284, 41. — 558 Ϲόλων προϲέθηκε, conf. Schol. B 494, 557; Γ 230. Diog. Laert. I, 2, 2. Plut. Solon. 10. Cram. An. Par. I, 287. Strab. IX, 394. Eust. 263, 23; 285, 4. — 561 τινὰ τῶν παλαιῶν ἀντιγράφων Τροίζηνα προπαροξυτόνωϲ ἔγραψαν, ὡϲ καὶ ῾Ηρωδιανὸϲ ϲυνηγορεῖ ἐν τῷ περὶ ταχυτῆτοϲ καὶ δηϊότητοϲ Eust. 287, 18. — 562 γράφουϲί τινεϲ „νῆϲόν τ᾽ Αἴγιναν" ἀντὶ τοῦ „οἵ τ᾽ ἔχον Αἴγιναν" Strabo VIII, 375.

Μηκιςτέος υἱὸς Ταλαϊονίδαο ἄνακτος.
ςυμπάντων δ᾽ ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης·.
τοῖςι δ᾽ ἅμ᾽ ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
οἳ δὲ Μυκήνας εἶχον, ἐυκτίμενον πτολίεθρον,
ἀφνειόν τε Κόρινθον ἐυκτιμένας τε Κλεωνάς,
Ὀρνειάς τ᾽ ἐνέμοντο Ἀραιθυρέην τ᾽ ἐρατεινὴν
καὶ Ϲικυῶν᾽, ὅθ᾽ ἄρ᾽ Ἄδρηςτος πρῶτ᾽ ἐμβαςίλευεν,
οἵ θ᾽ Ὑπερηςίην τε καὶ αἰπεινὴν Γονόεςςαν
Πελλήνην τ᾽ εἶχον, ἠδ᾽ Αἴγιον ἀμφενέμοντο
Αἰγιαλόν τ᾽ ἀνὰ πάντα καὶ ἀμφ᾽ Ἑλίκην εὐρεῖαν,
τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων
Ἀτρείδης. ἅμα τῷ γε πολὺ πλεῖςτοι καὶ ἄριςτοι
λαοὶ ἕποντ᾽· ἐν δ᾽ αὐτὸς ἐδύςετο νώροπα χαλκὸν
κυδιόων, πᾶςιν δὲ μετέπρεπεν ἡρώεςςιν,
οὕνεκ᾽ ἄριςτος ἔην, πολὺ δὲ πλείςτους ἄγε λαούς.
οἳ δ᾽ εἶχον κοίλην Λακεδαίμονα κητώεςςαν,
Φᾶρίν τε Ϲπάρτην τε πολυτρήρωνά τε Μέςςην,
Βρυςειάς τ᾽ ἐνέμοντο καὶ Αὐγειὰς ἐρατεινάς,
οἵ τ᾽ ἄρ᾽ Ἀμύκλας εἶχον Ἕλος τ᾽, ἔφαλον πτολίεθρον,
οἵ τε Λάαν εἶχον ἠδ᾽ Οἴτυλον ἀμφενέμοντο,
τῶν οἱ ἀδελφεὸς ἦρχε, βοὴν ἀγαθὸς Μενέλαος,

---

V. L. 566 μηκιςτέως CHLS. — 568 add. Vitt. Script. l. l. ἐν δ᾽ ἄνδρες πολέμοιο δαήμονες ἐςτιχόωντο, Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο, vid. Homeri et Hesiodi Certamen extr. — 569 οἱ A. εὐκτίμενον E. — 572 ἂρ AGH. ἄρ᾽ omitt. L. ἄδραςτος G. ἐβαςίλευςεν CGS. ἐμβαςίλευςεν Lips. Vrat. a. — 573 ὑπερηςείην GH Barocc. Eton. Lips. Ὑπερραςίην Schol. Apoll. Rhod. I, 176. — 575 ἀμφελίκην L. — 578 ἐδύςετο AH: ἐδύςατο CE 296, 2; 299, 19 GL 1. man. ἐδύςςατο L ex corr. S. — 579 πᾶςιν δὲ: καὶ πᾶςι H, ceteri ὅτι πᾶςι. — 581 οἱ A. — 582 Φᾶρίν: φάρην G. τὴν δὲ Φάρην ὁ τὰ ἐθνικὰ γράψας διὰ τοῦ ῑ εἰδέναι φαίνεται, τὰ δὲ πλείω τῶν ἀντιγράφων διὰ τοῦ η̅ γράφουςι Eust. 294, 19. Μέςςην: Θίςβην Max. Tyrius Diss. XVI, 7. — 583 βρυςςείας L. βυρςείας τ᾽ G. αὐγειάς τ᾽ G. — 584 ἂρ AGH. Ἕλος — 585 εἶχον omitt. C 1. man. ἔφάλον A. — 585 λᾶαν εἶχον ἰδ᾽ S. ἰδ᾽ οἳ τύλον L. οἴτηλον C. ἀμφινέμοντο S.

---

A. c. 571 Ἀραιθυρέην: Παραιθυρέην Zenodotus. — 573 Γονόεςςαν: narrat Pausanias VII, 26, 13 veterem scripturam Δονόεςςαν a Pisistrato mutatam esse in Γονόεςςαν. — 578 ἐδύςετο Aristarchus. — 579 πᾶςιν δὲ: οὕτως ἡ ἑτέρα τῶν Ἀριςταρχείων, καὶ ἔςτι χαριεςτέρα. ὁμοίως δὲ καὶ Ζηνόδοτος γράφει Didymus. — 579, 580 Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν Aristonicus. — 581 κητώεςςαν: Zenodotus καιετάεςςαν, conf. Eust. 294, 9; 1478, 38. Schol. D. Schol. δ 1. Strabo VIII, 367. — 585 Οἴτυλον Herodianus: οἳ Τύλον Tyrannio, cf. Eust. 295, 41.

ἑξήκοντα νεῶν· ἀπάτερθε δὲ θωρήϲϲοντο.
ἐν δ᾽ αὐτὸϲ κίεν ᾗϲι προθυμίῃϲι πεποιθώϲ,
ὀτρύνων πόλεμον δέ· μάλιϲτα δὲ ἵετο θυμῷ
τίϲαϲθαι Ἑλένηϲ ὁρμήματά τε ϲτοναχάϲ τε.
οἳ δὲ Πύλον τ᾽ ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινὴν
καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐύκιτον Αἰπύ,
καὶ Κυπαριϲϲήεντα καὶ Ἀμφιγένειαν ἔναιον,
καὶ Πτελεὸν καὶ Ἕλοϲ καὶ Δώριον, ἔνθά τε μοῦϲαι
ἀντόμεναι Θάμυριν τὸν Θρήικα παῦϲαν ἀοιδῆϲ,
Οἰχαλίηθεν ἰόντα παρ᾽ Εὐρύτου Οἰχαλιῆοϲ·
ϲτεῦτο γὰρ εὐχόμενοϲ νικηϲέμεν, εἴ περ ἂν αὐταὶ
μοῦϲαι ἀείδοιεν, κοῦραι Διὸϲ αἰγιόχοιο·
αἳ δὲ χολωϲάμεναι πηρὸν θέϲαν, αὐτὰρ ἀοιδὴν
θεϲπεϲίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριϲτύν·
τῶν αὖθ᾽ ἡγεμόνευε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
τῷ δ᾽ ἐνενήκοντα γλαφυραὶ νέεϲ ἐϲτιχόωντο.
οἳ δ᾽ ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνηϲ ὄροϲ αἰπύ,
Αἰπύτιον παρὰ τύμβον, ἵν᾽ ἀνέρεϲ ἀγχιμαχηταί,
οἳ Φενεόν τ᾽ ἐνέμοντο καὶ Ὀρχομενὸν πολύμηλον
Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεϲϲαν Ἐνίϲπην,
καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν,
Στύμφηλόν τ᾽ εἶχον καὶ Παῤῥαϲίην ἐνέμοντο,
τῶν ἦρχ᾽ Ἀγκαίοιο πάιϲ, κρείων Ἀγαπήνωρ,
ἑξήκοντα νεῶν· πολέεϲ δ᾽ ἐν νηὶ ἑκάϲτῃ
Ἀρκάδεϲ ἄνδρεϲ ἔβαινον ἐπιϲτάμενοι πολεμίζειν.
αὐτὸϲ γάρ ϲφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
νῆαϲ ἐυϲϲέλμουϲ περάαν ἐπὶ οἴνοπα πόντον,

V. ι. 589 πόλεμον δὲ A. — 591 οἱ A. — 592 ἐύκτιτον: εὔκτιτον E 296, 20; 297, 12 et 18. ἐϋκτίμεν᾽ C. εὐκτιμεν᾽ (ον superscr.) G. Αἶπυ CGHLS Steph. Byz. 54, 4. Strabo VIII, 349. Schol. γ 7: Αἰπὺ AE 296, 20; 297, 11. — 594 πελεὸν S. ἔνθά τε ACH. ἔνθα γε G. — 597 εὐχόμενοϲ: ἐρχόμενοϲ C. — 599 αἳ δὲ C. — 600 κιθαριϲτήν GH Barocc. Vrat. b. Mosc. 1. κιθαριϲτὺν (η superscr.) S. — 601 τῶν δ᾽ C. αὖθ᾽: αὖ G. — 602 τῷ: τῶν S. Cant. — 603 οἱ A. κυλλήνην S. — 605 φενεόν CES Steph. Byz. 662, 4. Strabo: vulgo Φένεόν. τε νέμοντο C. — 608 παρναϲίαν G. — 609 ἀγκέοιο G Apoll. Lex. 4, 6. — 613 ἐϋϲέλμουϲ CGH.

A. c. 592 εὔκτιτον Αἰπὺ Aristarchus et Apollodorus: Herodianus cum Ptolemaeo Αἶπυ. Pherecydes Εὔκτιτον αἰπύ, conf. Eust. 297, 15. — 612—614 Ζηνόδοτοϲ ἠθέτηκε Aristonicus.

Ἀτρείδηϲ, ἐπεὶ οὔ ϲφι θαλάϲϲια ἔργα μεμήλει.
οἳ δ' ἄρα Βουπράϲιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον,
ὅϲϲον ἐφ' Ὑρμίνη καὶ Μύρϲινοϲ ἐϲχατόωϲα
πέτρη τ' Ὠλενίη καὶ Ἀλίϲιον ἐντὸϲ ἐέργει,
τῶν αὖ τέϲϲαρεϲ ἀρχοὶ ἔϲαν, δέκα δ' ἀνδρὶ ἑκάϲτῳ
νῆεϲ ἕποντο θοαί, πολέεϲ δ' ἔμβαινον Ἐπειοί.
τῶν μὲν ἄρ' Ἀμφίμαχοϲ καὶ Θάλπιοϲ ἡγηϲάϲθην,
υἷεϲ ὃ μὲν Κτεάτου, ὃ δ' ἄρ' Εὐρύτου, Ἀκτορίωνε·
τῶν δ' Ἀμαρυγκείδηϲ ἦρχε κρατερὸϲ Διώρηϲ·
τῶν δὲ τετάρτων ἦρχε Πολύξεινοϲ θεοειδήϲ,
υἱὸϲ Ἀγαϲθένεοϲ Αὐγηιάδαο ἄνακτοϲ.
οἳ δ' ἐκ Δουλιχίοιο Ἐχινάων θ' ἱεράων
νήϲων, αἳ ναίουϲι πέρην ἁλόϲ, Ἤλιδοϲ ἄντα,
τῶν αὖθ' ἡγεμόνευε Μέγηϲ, ἀτάλαντοϲ Ἄρηι,
Φυλείδηϲ, ὃν τίκτε διίφιλοϲ ἱππότα Φυλεύϲ,
ὅϲ ποτε Δουλίχιον δ' ἀπενάϲϲατο πατρὶ χολωθείϲ·
τῷ δ' ἅμα τεϲϲαράκοντα μέλαιναι νῆεϲ ἕποντο.
αὐτὰρ Ὀδυϲϲεὺϲ ἦγε Κεφαλλῆναϲ μεγαθύμουϲ,
οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοϲίφυλλον,
καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν,
οἵ τε Ζάκυνθον ἔχον ἠδ' οἳ Ϲάμον ἀμφενέμοντο,
οἵ τ' ἤπειρον ἔχον ἠδ' ἀντιπέραια νέμοντο·
τῶν μὲν Ὀδυϲϲεὺϲ ἦρχε Διὶ μῆτιν ἀτάλαντοϲ·

V. L. 615 οἱ A. ἄρα: ἂρ G. — 616 ὅϲϲον ἡ ὑρμίνη G. ὑρμίνῃ C. Ἀλίϲιον Hesych. I, 123: libri Ἀλείϲιον. — 620 ἂρ AG. — 621 ὁ μὲν εὐκτεάτου H. ὃ δ' CL. ἂρ AGHL. ἄρ' omitt. C Schol. Ν 185. εὐρύτου τοῦ G. ἀκτορίωνε A Schol. Ν 185. ἀκτορίωνοϲ$^{ε}$ S: ceteri ἀκτορίωνοϲ. — 624 ἀγαϲθενέωϲ L. — 625 οἱ A. — 626 αἳ: οἳ Eust. 304, 45; utrumque 306, 18. ναίουϲι$^{ονται}$ S. πέραν G. — 627 τῶν δ' C Vrat. A. αὖθ: αὖ G. — 628 διὶ φίλοϲ ACEGHLS Strabo IX, 459. Athenaeus X, 458. φυλλεὺϲ L. — 629 δουλίχιον GS, omisso δ'. — 631 κεφαλῆναϲ C 1. man. HL. — 633 τραχεῖαν G. — 635 ἔχον οἵ τ' H. οἳ δ' ἀντιπέρα S. ἀντιπέρ' G. ἀντιπέραν Vrat. c. Mosc. 1. ceteri ἀντιπέραι' ἐνέμοντο.

A. c. 616 Ὑρμίνη: Ὑρμίνῃ Zenodotus. — 617 Ἀλίϲιον: ἐν μὲν τοῖϲ παλαιοῖϲ τῶν ἀντιγράφων διὰ διφθόγγου φέρεται, ὁ δὲ τῶν ἐθνικῶν ἐκθέτηϲ διὰ τοῦ η̄ γράφει αὐτό Eust. 304, 25. Aristarchus Ἀλίϲιον, conf. Schol. Λ 757. — 621 Ἀκτορίωνε Aristarchus, non Ἀκτορίωνοϲ. — 626 αἳ: οἳ Zenodotus. — 631 habet obelum adpictum in cod. A. — 634 Aristarchus Ϲάμον: Zenodotus Ϲάμην, ἄμετρον ποιῶν τὸν ϲτίχον, conf. Scholl. α 246, δ 671, 845, ι 24, ο 29.

τῷ δ' ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι.
Αἰτωλῶν δ' ἡγεῖτο Θόας, Ἀνδραίμονος υἱός,
οἳ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην
Χαλκίδα τ' ἀγχίαλον Καλυδῶνά τε πετρήεσσαν·
οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος.
τῷ δ' ἐπὶ πάντ' ἐτέταλτο ἀναςςέμεν Αἰτωλοῖςι·
τῷ δ' ἅμα τεςςαράκοντα μέλαιναι νῆες ἕποντο.
Κρητῶν δ' Ἰδομενεὺς δουρὶ κλυτὸς ἡγεμόνευεν,
οἳ Κνωςόν τ' εἶχον Γόρτυνά τε τειχιόεςςαν,
Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαςτον
Φαιςτόν τε Ῥύτιόν τε, πόλεις εὖ ναιετοώςας,
ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο.
τῶν μὲν ἄρ' Ἰδομενεὺς δουρὶ κλυτὸς ἡγεμόνευε
Μηριόνης τ', ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ·
τοῖςι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
Τληπόλεμος δ' Ἡρακλείδης, ἠΰς τε μέγας τε,
ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων ἀγερώχων,
οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοςμηθέντες,
Λίνδον Ἰηλυςόν τε καὶ ἀργινόεντα Κάμειρον.
τῶν μὲν Τληπόλεμος δουρὶ κλυτὸς ἡγεμόνευεν,

---

V. l. 637 μιλτοπάρῃοι E 306, 36 L: in ceteris abest ῑ adscriptum. — 639 οἵ A. — 642 ἂρ AEGHL. post hunc cod. Mosc. καὶ Τυδεὺς (ἐν) Θήβαις ὅτ' ἀπώλετο λαὸς Ἀχαιῶν, cf. Z 223. — 643 ἐτέταλτο: ἐτέτακτο S. αἰτωλοῖςι CGH. post hunc repetuntur in H versus 637 et 642. — 645 δ' omitt. L. δουρὶ κλυτὸς A: ceteri δουρικλυτὸς. — 646 Κνωςόν AL Vrat. b. c.: Κνωςςόν CE bis GH Strabo. — 647 ἀργιόεντα S. κάμειρον H (cf. 656) et eadem manu suprascr. ἢ λύκαςτον. — 648 τ' ἐρύτιόν τε L. πόλεις: πόλις A. * εὖ ναιετοώςας: εὖ ναιεταώςας CGHLS: εὐναιεταώςας A. — 649 ἄλλοί θ' C. — 650 ἂρ AGL. δουρὶ κλυτὸς A: ceteri δουρικλυτὸς. ἡγεμόνευε CHL. — 651 ἀνδριφόντῃ G. — 655 διάτριχα CE 314, 27 GHL Schol. Pind. Ol. VII, 34. διατρίχα Eust. 315, 4. — 656 ἰήλϋςςόν H Et. Mg. 488, 7. ἀργιόεντα S. Κάμειρον AE 315, 13; 30 GHL 1. man. Cant. Strabo XIV, 653; 654. Schol. Pind. Ol. VII, 34: κάμιρον CL 2. man. Barocc. Eton. Vrat. b. c. A. Et. Mg. 488, 7. Eust. 314, 27; 315, 8; 24; 30. — 657 δουρὶ κλυτὸς A.

---

A. c. 641, 642 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 646 Κνωςςόν Trypho, conf. Cram. An. Ox. II, 72, 10. — 648 Herodianus Ῥύτιον: Ῥυτίον Tyrannio. εὖ ναιετοώςας, conf. H. T. 310. — 655 διὰ τρίχα, non διάτριχα scribendum, conf. ι 157 διὰ δὲ τρίχα κοςμηθέντες. — 656 Κάμειρον, conf. Eust. 315, 29.

ὃν τέκεν Ἀϲτυόχεια βίῃ Ἡρακληείῃ,
τὴν ἄγετ᾿ ἐξ Ἐφύρηϲ, ποταμοῦ ἄπο Ϲελλήεντοϲ,
πέρϲαϲ ἄϲτεα πολλὰ διοτρεφέων αἰζηῶν.
Τληπόλεμοϲ δ᾿ ἐπεὶ οὖν τράφ᾿ ἐνὶ μεγάρῳ εὐπήκτῳ,
αὐτίκα πατρὸϲ ἑοῖο φίλον μήτρωα κατέκτα,
ἤδη γηράϲκοντα Λικύμνιον, ὄζον Ἄρηοϲ.
αἶψα δὲ νῆαϲ ἔπηξε, πολὺν δ᾿ ὅ γε λαὸν ἀγείραϲ
βῆ φεύγων ἐπὶ πόντον· ἀπείληϲαν γάρ οἱ ἄλλοι
υἱέεϲ υἱωνοί τε βίηϲ Ἡρακληείηϲ·
αὐτὰρ ὅ γ᾿ ἐϲ Ῥόδον ἷξεν ἀλώμενοϲ, ἄλγεα πάϲχων·
τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδὲ φίληθεν
ἐκ Διόϲ, ὅϲ τε θεοῖϲι καὶ ἀνθρώποιϲιν ἀνάϲϲει.
καί ϲφιν θεϲπέϲιον πλοῦτον κατέχευε Κρονίων.
Νιρεὺϲ αὖ Ϲύμηθεν ἄγε τρεῖϲ νῆαϲ ἐίϲαϲ,
Νιρεύϲ, Ἀγλαΐηϲ υἱὸϲ Χαρόποιό τ᾿ ἄνακτοϲ,
Νιρεύϲ, ὃϲ κάλλιϲτοϲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε
τῶν ἄλλων Δαναῶν μετ᾿ ἀμύμονα Πηλείωνα·
ἀλλ᾿ ἀλαπαδνὸϲ ἔην, παῦροϲ δέ οἱ εἵπετο λαόϲ.

---

V. L. 658 Ἀϲτυόχεια: Ἀϲτυδάμεια Schol. Pind. Olymp. VII, 42. — 659 τὴν ἄγετ᾿: τηλόθεν Strabo VII, 328; VIII, 339. ἄπο: ἀπὸ CEGHL. ἀπο A. ϲελήεντοϲ G. — 660 διοτρεφέων: διοτροφέων HL. αἰζειῶν G. — 661 τράφ᾿ ἐνὶ A (ἐνι) CE 315, 38 S Eton. Vrat. b. Mosc. 1. τράφενὶ H. τράφεν ἐνὶ L Vrat. A. Cram. An. Ox. IV, 309, 25. τράφ᾿ ἐν Vrat. a.: τράφη ἐν G Schol. Pind. Ol. VII, 36. ἐϋπήκτῳ CEGL Schol. Pind. Ol. VII, 36; vulgo εὐπήκτῳ. — 665 γάρ οἱ libri mei cum Eustathio. γάρ οἱ, ἄλλοι L: γὰρ οἱ Schol. Ψ 184. — 667 ἷξεν L. ἧκεν G. — 668 κατὰ φυλαδὸν CE 315, 41 GHL. καφφυλαδὸν Vrat. a. ἠδὲ φίληθεν CG Eton. Vrat. a. c. vulgó ἠδ᾿ ἐφίληθεν. Cant. οἳ δ᾿ ἐφίληθεν. — 671 αὖ: δ᾿ αὖ Rhet. Gr. II, 433, 21. δ᾿ αἰϲύμηθεν S. Αἰϲύμνηθεν Rhet. Gr. III, 203, 7. αὖ ἐϲύμηθεν L. ἄγε: ἄγεν CL Stobaeus Floril. 65, 3. — 673 ἦλθε ACEGH Stobaeus l. l. — 674 τῶν δ᾿ S. — 675 γάρ οἱ ἕπετο G.

---

A. c. 658 Ἡρακληείῃ: Ζηνόδοτοϲ γράφει Ἡρακλείῃ ἄμετρον ποιῶν Aristonicus. — 661 τράφ᾿ ἐνὶ dedi ex libris optimis. ἔτραφον notione intransitiva aliis quoque locis legitur, conf. e. g. Ε 555, Η 199, Ϲ 436, Φ 279, γ 28; sed Γ 202 τράφη ἐν in omnibus et Λ 222 in omnibus fere libris reperitur. ἐυπήκτῳ, conf. H. U. 85. — 662 κατέκτᾰ Ptolemaeus cum Aristarcho: κατέκτᾱ Tyrannio. — 665 βῆ φεύγων Aristarchus. γάρ οἱ: alii propter digammum neglectum γὰρ οἱ, sed conf. Ε 339, Ζ 90, 101, 289, Λ 339, Π 735, Ψ 865, Ω 53, 72, ε 234, ζ 280, λ 442, ν 430, ο 105. — 667 αὐτὰρ ὅ γ᾿: αἶψα δ᾿ ὅγ᾿ Zenodotus. — 669 ἀθετεῖται Aristonicus. — 670 ἀθετεῖται teste Schol. Pind. Ol. VII, 62. — 671 ἄγε τρεῖϲ Aristarchus, non ἄγεν. — 673—675 τοὺϲ δύο ἠθέτηκε Ζηνόδοτοϲ, τὸν ἐδ μέϲον οὐδὲ ἔγραφεν Aristonicus.

οἳ δ᾽ ἄρα Νίϲυρόν τ᾽ εἶχον Κράπαθόν τε Κάϲον τε
καὶ Κῶν, Εὐρυπύλοιο πόλιν, νήϲουϲ τε Καλύδναϲ,
τῶν αὖ Φείδιππόϲ τε καὶ Ἄντιφοϲ ἡγηϲάϲθην,
Θεϲϲαλοῦ υἷε δύω Ἡρακλείδαο ἄνακτοϲ·
τοῖϲ δὲ τριήκοντα γλαφυραὶ νέεϲ ἐϲτιχόωντο.
νῦν αὖ τοὺϲ ὅϲϲοι τὸ Πελαϲγικὸν Ἄργοϲ ἔναιον,
οἵ τ᾽ Ἄλον οἵ τ᾽ Ἀλόπην οἵ τε Τρηχῖνα νέμοντο,
οἵ τ᾽ εἶχον Φθίην ἠδ᾽ Ἑλλάδα καλλιγύναικα,
Μυρμιδόνεϲ δὲ καλεῦντο καὶ Ἕλληνεϲ καὶ Ἀχαιοί,
τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸϲ Ἀχιλλεύϲ.
ἀλλ᾽ οἵ γ᾽ οὐ πολέμοιο δυϲηχέοϲ ἐμνώοντο·
οὐ γὰρ ἔην ὅϲ τίϲ ϲφιν ἐπὶ ϲτίχαϲ ἡγήϲαιτο.
κεῖτο γὰρ ἐν νήεϲϲι ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
κούρηϲ χωόμενοϲ Βριϲηίδοϲ ἠυκόμοιο,
τὴν ἐκ Λυρνηϲϲοῦ ἐξείλετο πολλὰ μογήϲαϲ,
Λυρνηϲϲὸν διαπορθήϲαϲ καὶ τείχεα Θήβηϲ,
κὰδ δὲ Μύνητ᾽ ἔβαλεν καὶ Ἐπίϲτροφον ἐγχεϲιμώρουϲ,
υἱέαϲ Εὐηνοῖο Σεληπιάδαο ἄνακτοϲ·
τῆϲ ὅ γε κεῖτ᾽ ἀχέων, τάχα δ᾽ ἀνϲτήϲεϲθαι ἔμελλεν.
οἳ δ᾽ εἶχον Φυλάκην καὶ Πύραϲον ἀνθεμόεντα,

---

V. l. 676 οἱ A. νίϲϲυρόν L. κράϲον τε L. θάϲον τε L. — 677 κῶ L post ras. Schol. Theocr. I, 57 — 678 τῶν δ᾽ αὖ CG Mor. Eton. Vrat. c. — 680 τοῖϲδε Lips. Eton. τῶν δὲ AHL. — 681 νῦν, αὖ, τοὺϲ A. νῦν τοὺϲ φημὶ ὅϲοι G. οἵ τ᾽ αὐτοὶ ὅϲοι S. νῦν δ᾽ αὐτοὺϲ Vrat. a. c. A. Schol. Apoll. Rhod. I, 14. νῦν αὐτοὶ Vrat. b. οἱ δ᾽ αὐτοὶ ὅϲϲοι Mosc. 1. νῦν αὐτοὺϲ ὅϲοι Apoll. Lex. 41, 18. ὅϲοι H. — 682 libri τρηχῖν᾽ ἐνέμοντο. — 683 ἠδ᾽: καὶ E. — 684 δὲ καλεῦντο ACELS Strabo IX, 430; VIII, 367. Schol. B 529, I 478, Π 595. Eust. 1059, 59; 1123, 17. Cram. An. Par. III, 124, 5. Schol. Apoll. Rhod. I, 284; III, 775: δ᾽ ἐκαλεῦντο H Vrat. a. δ᾽ ἐκαλοῦντο Eust. 758, 56. δὲ καλοῦντο Schol. A 244. Schol. Pind. Nem. VII, 95. δὲ καλοῦνται G. δὲ καλεῦνται Schol. Apoll. Rhod. IV, 1329. — 685 τῶν δ᾽ L. — 687 ὅϲ τί ϲφιν CH. — 690 λυρνηϲοῦ L. λυρνιϲϲοῦ G. — 691 λυρνηϲὸν L. λυρνιϲϲὸν G. — 692 καδδὲ ACGHL. μύνητα βάλεν G. ἔβαλλεν H. ἔβαλ$^{λ}$ε L. — 694 ὅγ᾽ ἔκειτ᾽ E.

---

A. c. 681 Ζηνόδοτοϲ μετέγραφεν „οἳ δ᾽ Ἄργοϲ εἶχον τὸ Πελαϲγικόν, οὖθαρ ἀρούρηϲ“ Aristonicus. — 682 τ᾽ Ἄλον: τινὲϲ δὲ οἴονται δαϲύνεϲθαι τὴν Ἄλον Eust. 320, 4. οἱ δὲ τὸν Ἀλιοῦντα ἀντὶ Ἀλόπηϲ τιθέαϲι καὶ γράφουϲιν οὕτωϲ „οἵ θ᾽ Ἅλον οἵ θ᾽ Ἁλιοῦνθ᾽ οἵ τε Τρηχῖν᾽ ἐνέμοντο“ Strabo IX, 432 extr., quod male intellexit Eust. 320, 7. Τρηχῖνα νέμοντο Aristarchus. — 686–694 Ζηνόδοτοϲ ἀθετεῖ Aristonicus. — 690 ἐκ Λυρνηϲϲοῦ Aristarchus: Zenodotus ἐν Λυρνηϲϲῷ. — 694 Aristarchus ἀνϲτήϲεϲθαι: Zenodotus ἀϲτήϲεϲθαι, conf. H. T. 394.

Δήμητρος τέμενος, Ἴτωνά τε, μητέρα μήλων,
ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην,
τῶν αὖ Πρωτεϲίλαοϲ ἀρήιοϲ ἡγεμόνευε
ζωὸϲ ἐών· τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα.
τοῦ δὲ καὶ ἀμφιδρυφὴϲ ἄλοχοϲ Φυλάκῃ ἐλέλειπτο
καὶ δόμοϲ ἡμιτελήϲ· τὸν δ' ἔκτανε Δάρδανοϲ ἀνὴρ
νηὸϲ ἀποθρῴϲκοντα πολὺ πρώτιϲτον Ἀχαιῶν.
οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔϲαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλά ϲφεαϲ κόϲμηϲε Ποδάρκηϲ, ὄζοϲ Ἄρηοϲ,
Ἰφίκλου υἱὸϲ πολυμήλου Φυλακίδαο,
αὐτοκαϲίγνητοϲ μεγαθύμου Πρωτεϲιλάου
ὁπλότεροϲ γενεῇ· ὃ δ' ἅμα πρότεροϲ καὶ ἀρείων,
ἥρωϲ Πρωτεϲίλαοϲ ἀρήιοϲ· οὐδέ τι λαοὶ
δεύονθ' ἡγεμόνοϲ, πόθεόν γε μὲν ἐϲθλὸν ἐόντα.
τῷ δ' ἅμα τεϲϲαράκοντα μέλαιναι νῆεϲ ἕποντο.
οἳ δὲ Φερὰϲ ἐνέμοντο παραὶ Βοιβηίδα λίμνην,
Βοίβην καὶ Γλαφύραϲ καὶ ἐυκτιμένην Ἰαωλκόν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλοϲ πάιϲ ἕνδεκα νηῶν,
Εὔμηλοϲ, τὸν ὑπ' Ἀδμήτῳ τέκε δῖα γυναικῶν,
Ἄλκηϲτιϲ, Πελίαο θυγατρῶν εἶδοϲ ἀρίϲτη.
οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο,
καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν,

V. L. 696 Ἰτῶνα Draco de Metr. 53, 3. — 697 ἀντρῶνα ἰδὲ ACE HLS Strabo VIII, 350. ἀντρῶνα ἠδὲ G. — 698 ἡγεμόνευε AH. — 699 κατα CL. κατὰ G. — 702 ἀποθρώιϲκοντα A: ceteri ἀποθρώϲκοντα, cf. Eust. 326, 12. τὸ δὲ πολὺ πρώτιϲτον τινὰ τῶν ἀντιγράφων πολυπρώτιϲτον ὑφὲν γράφουϲι Eust. 326, 13. — 703 οἳ ACGHL. — 704 ἀλλὰ ϲφέαϲ GHL Apoll. Lex. 132, 25. — 707 γενεῇ: γενεήν Schol. Δ 60. ὅδ' CGHL. ἅμα: ἄρα ACGHLS Apoll. Lex. 54, 12. — 708 οὐδέ τι ACEGL. οὐδ' ἔτι H Vrat. a.: alii οὐδέ τε, quod coniectura videtur. — 709 γε μὲν ACHL Barocc. Eton. Lips. Vrat. b. A. Mosc. 1.: γέ μεν E. γε μὶν G. δέ μιν S. — 710 τεϲϲεράκοντα A. — 711 οἱ A. — 712 γλαφυρὰϲ AC. εὐκτιμένην EL. εὐκτίμενον G. ἰαολκὸν GL. — 713 τῶν δ' Vrat. a. πάϊϲ CGHL: παῖϲ A. — 716 οἱ A. — 717 τραχεῖαν G.

A. c. 697 ἀγχίαλον: ἀγχιάλην Zenodotus, conf. Steph. Byz. 101, 14 s. v. Ἀντρών. τὴν Ἄντρωνα δέ τινεϲ μὲν βαρύνουϲιν ὡϲ τὴν Ἴτωνα, τινὲϲ δὲ Ἀντρῶνα φαϲὶν ὡϲ Πυθῶνα. Ἡρωδιανὸϲ δέ φηϲιν ὡϲ Πλευρῶνα Eust. 324, 35. — 702 ἀποθρῴϲκοντα conf. H. T. 284. — 703 γε μὲν: δὲ τὸν Axt. Coni. Hom. (1860) pg. 4. — 707 ἅμα Aristarchus. — 711 παραὶ Βοιβηίδα λίμνην: κατ' ἐνίουϲ δὲ καὶ ἔκδοϲιϲ παρ' Ὁμήρῳ οὕτωϲ ἔχει „οἱ δὲ Φέραϲ ἐνέμοντο ἰδὲ κρήνην Ὑπέρειαν“ Schol. Pind. Pyth. IV, 221. — 717 Ὀλιζῶνα Apio et Herodorus teste Eust. 329, 12. προπεριϲπωμένωϲ ὡϲ Μεδεῶνα. Νικίαϲ δὲ οὐκ εὖ γράφει Ὀλίζωνα ὡϲ περίζωμα Herodianus.

τῶν δὲ Φιλοκτήτηϲ ἦρχεν, τόξων εὖ εἰδώϲ,
ἑπτὰ νεῶν· ἐρέται δ᾽ ἐν ἑκάϲτῃ πεντήκοντα
ἐμβέβαϲαν, τόξων εὖ εἰδότεϲ ἶφι μάχεϲθαι.
ἀλλ᾽ ὃ μὲν ἐν νήϲῳ κεῖτο κρατέρ᾽ ἄλγεα πάϲχων,
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷεϲ Ἀχαιῶν
ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονοϲ ὕδρου·
ἔνθ᾽ ὅ γε κεῖτ᾽ ἀχέων· τάχα δὲ μνήϲεϲθαι ἔμελλον
Ἀργεῖοι παρὰ νηυϲὶ Φιλοκτήταο ἄνακτοϲ.
οὐδὲ μὲν οὐδ᾽ οἳ ἄναρχοι ἔϲαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλὰ Μέδων κόϲμηϲεν, Ὀιλῆοϲ νόθοϲ υἱόϲ,
τόν ῥ᾽ ἔτεκεν Ῥήνη ὑπ᾽ Ὀιλῆι πτολιπόρθῳ.
οἳ δ᾽ εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεϲϲαν,
οἵ τ᾽ ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆοϲ,
τῶν αὖθ᾽ ἡγείϲθην Ἀϲκληπιοῦ δύο παῖδε,
ἰητῆρ᾽ ἀγαθώ, Ποδαλείριοϲ ἠδὲ Μαχάων·
τοῖϲ δὲ τριήκοντα γλαφυραὶ νέεϲ ἐϲτιχόωντο.
οἳ δ᾽ ἔχον Ὀρμένιον, οἵ τε κρήνην Ὑπέρειαν,
οἵ τ᾽ ἔχον Ἀϲτέριον Τιτάνοιό τε λευκὰ κάρηνα,
τῶν ἦρχ᾽ Εὐρύπυλοϲ, Εὐαίμονοϲ ἀγλαὸϲ υἱόϲ·
τῷ δ᾽ ἅμα τεϲϲαράκοντα μέλαιναι νῆεϲ ἕποντο.
οἳ δ᾽ Ἄργιϲϲαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο,
Ὄρθην Ἠλώνην τε πόλιν τ᾽ Ὀλοοϲϲόνα λευκήν,

V. L. 718 τῶνδε G. ἦρχε CGH. — 721 ὃ L. κρατερὰ G. — 724 δ᾽ ἀνϲτήϲεϲθαι H et supra μνήϲεϲθαι. — 726 οἳ CGHL. γε μὲν omnes. — 728 τὸν ῥ᾽ L. — 729 οἱ A. τρίκην Cant. κλωμακόεϲϲαν CEHLS Strabo IX, 437: κλιμακόεϲϲαν A Pausanias IV, 9, 2. Et. Mg. 470, 9. κλημακόεϲϲαν G. — 731 τῶν αὖ Vrat. b. τῶν αὖ ἡγεμόνευον παῖδεϲ ἀϲκληπιοῦ G. δῦω H. παῖδεϲ L Athenaeus XIV, 632. — 732 ἰητῆρε καλὼ G. — 734 οἱ A. ὁρμένιον L. ορμένιον A. κρίνην L. hic versus in A post 735 collocatus est. — 735 οἵ δ᾽ ἔχον L. — 737 τεϲϲεράκοντα A. — 738 οἱ A. ἄργιϲαν C Barocc. Lips. Vrat. a. Mosc. ἄργειϲαν AGH. τὴν ῥηθεῖϲαν Ἄργιϲϲαν εὕρηνται ϲπάνιά τινα τῶν ἀντιγράφων Ἄργειαν ἔχοντα προπαροξυτόνωϲ διὰ διφθόγγου Eustath. 333, 16. Γυρτώνην τε νέμοντο Schol. Apoll. Rhod. I, 57. — 739 ὀλωϲόνα G. ὀλοϲϲῶνα H. ὀλοϲῶνα S.

A. c. 718 Zenodotus τῶν αὖ[θ᾽] ἡγεμόνευε Φιλοκτήτηϲ, ἄγοϲ ἀνδρῶν. — 724, 725 Ζηνόδοτοϲ ἠθέτηκεν Aristonicus. — 727 ἀλλά: Zenodotus τοὺϲ δέ. „videtur igitur Zenodotus etiam 726. eiecisse“ Friedlaender. Ariston. pg. 77. — 731 conf. Schol. M 208. — 733 οὕτωϲ κατὰ δοτικὴν πτῶϲιν τοῖϲ δὲ ἀρίϲταρχοϲ ὡϲ πρόκειται Didymus, conf. B 516. — 739 Ὄρθην: οὕτωϲ ὡϲ ϲπάρτην, ἵν᾽ ᾖ ἴδιον Herodianus. ἡ δὲ Ὄρθη βαρύνεται κατὰ τοὺϲ παλαιούϲ Eust. 333, 27. fallitur Schol. A ὀρθήν, οὕτωϲ ὀξυτόνωϲ, ἐπιθετικῶϲ γὰρ τέτακται. Ἠλώνη δὲ τῷ μὲν τόνῳ ὡϲ κορώνη, καθά φαϲιν οἱ παλαιοί Eust. 333, 30. Ὀλοοϲϲόνα προπαροξυτόνωϲ φηϲὶν ἐν τῇ καθόλου (Ἡρωδιανόϲ) Schol. A.

τῶν αὖθ᾽ ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης,
υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς·
τόν ῥ᾽ ὑπὸ Πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια
ἤματι τῷ, ὅτε φῆρας ἐτίσατο λαχνήεντας,
τοὺς δ᾽ ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσεν.
οὐκ οἶος, ἅμα τῷ γε Λεοντεύς, ὄζος Ἄρηος,
υἱὸς ὑπερθύμοιο Κορώνου Καινεΐδαο·
τοῖς δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
Γουνεὺς δ᾽ ἐκ Κύφου ἦγε δύω καὶ εἴκοσι νῆας·
τῷ δ᾽ Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί,
οἳ περὶ Δωδώνην δυσχείμερον οἰκί᾽ ἔθεντο,
οἵ τ᾽ ἀμφ᾽ ἱμερτὸν Τιταρήσιον ἔργα νέμοντο,
ὅς ῥ᾽ ἐς Πηνειὸν προΐει καλλίῤῥοον ὕδωρ,
οὐδ᾽ ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ,
ἀλλά τέ μιν καθύπερθεν ἐπιῤῥέει ἠΰτ᾽ ἔλαιον·
ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ.
Μαγνήτων δ᾽ ἦρχε Πρόθοος, Τενθρηδόνος υἱός,
οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον
ναίεσκον· τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευε,
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οὗτοι ἄρ᾽ ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.
τίς τ᾽ ἂρ τῶν ὄχ᾽ ἄριστος ἔην, σύ μοι ἔννεπε μοῦσα,
αὐτῶν ἠδ᾽ ἵππων, οἳ ἅμ᾽ Ἀτρείδῃσιν ἕποντο.
ἵπποι μὲν μέγ᾽ ἄρισται ἔσαν Φηρητιάδαο,
τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐίσας·

---

V. l. 740 τῶν δ᾽ S. αὖθ᾽: αὖ G. — 742 ὕπο A. — 746 ὑπερθύμου G. — 747 ἅμα: ἄρα Vrat. c. τεσσεράκοντα A. νῆες ἕποντο μέλαιναι G. — 748 δυωκαιείκοσι A. δύο E. — 750 omitt. H. — 751 ἔργα ἐνέμοντο E, ceteri ἔργ᾽ ἐνέμοντο. — 752 καλλΐροον C. — 754 τε A. — 756 τερθρηδόνος S. τε(ευ)νθρηδόνος L. — 758 ἡγεμόνευε ACEGHL Rhet. Gr. II, 336, 28. — 759 τεσσεράκοντα A. — 760 ἂρ AGHL: ἔ(σ)αν C. — 761 τίς τ᾽ ἂρ: τίς ταρ A. τίς γὰρ S Vrat. b. — 762 ἀτρείδαισιν G. — 763 ἦσαν CE. — 765 οἰέτεας: ἰσετέας L.

---

A. c. 741 ἀθάνατος: ἀθάνατον Zenodotus. — 744 Αἰθίκεσσι: Democrines Αἰθιόπεσσι. — 751 ἔργα νέμοντο Aristarchus, conf. Cram. An. Par. III, 280, 34. — 755 Aristarchus ἀποῤῥώξ: alii ἀπόῤῥωξ. — 756 Aristarchus ἦρχε, non ἦρχεν. — 765 σταφύλῃ Ptolemaeus Ascalonita, non σταφυλῇ conf. Eust. 341, 30. Ammon. de Diff. s. v. σταφυλήν.

τὰϲ ἐν Πηρείῃ θρέψ' ἀργυρότοξοϲ Ἀπόλλων,
ἄμφω θηλείαϲ, φόβον Ἄρηοϲ φορεούϲαϲ.
ἀνδρῶν αὖ μέγ' ἄριϲτοϲ ἔην Τελαμώνιοϲ Αἴαϲ,
ὄφρ' Ἀχιλεὺϲ μήνιεν· ὃ γὰρ πολὺ φέρτατοϲ ἦεν,
ἵπποι θ', οἳ φορέεϲκον ἀμύμονα Πηλείωνα.
ἀλλ' ὃ μὲν ἐν νήεϲϲι κορωνίϲι ποντοπόροιϲι
κεῖτ' ἀπομηνίϲαϲ Ἀγαμέμνονι, ποιμένι λαῶν,
Ἀτρείδῃ· λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάϲϲηϲ
δίϲκοιϲιν τέρποντο καὶ αἰγανέῃϲιν ἱέντεϲ
τόξοιϲίν θ'· ἵπποι δὲ παρ' ἅρμαϲιν οἷϲιν ἕκαϲτοϲ,
λωτὸν ἐρεπτόμενοι ἐλεόθρεπτόν τε ϲέλινον,
ἕϲταϲαν· ἅρματα δ' εὖ πεπυκαϲμένα κεῖτο ἀνάκτων
ἐν κλιϲίῃϲ. οἳ δ' ἀρχὸν ἀρηίφιλον ποθέοντεϲ
φοίτων ἔνθα καὶ ἔνθα κατὰ ϲτρατὸν οὐδὲ μάχοντο.
οἳ δ' ἄρ' ἴϲαν ὡϲ εἴ τε πυρὶ χθὼν πᾶϲα νέμοιτο·
γαῖα δ' ὑπεϲτενάχιζε Διὶ ὣϲ τερπικεραύνῳ
χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέι γαῖαν ἱμάϲϲῃ
εἰν Ἀρίμοιϲ, ὅθι φαϲὶ Τυφωέοϲ ἔμμεναι εὐνάϲ·
ὣϲ ἄρα τῶν ὑπὸ ποϲϲὶ μέγα ϲτεναχίζετο γαῖα

---

V. ι. 766 πηρείῃ E Macrob. Saturn. I, 17, 44: πιερίῃ CGHLS Schol. Ψ 383. πηερίηι A. τινὰ ἀντίγραφα διὰ διφθόγγου τὴν ἄρχουϲαν ἔχουϲι, τὴν δὲ παραλήγουϲαν διὰ μόνου διχρόνου (Πειρίῃ). ἐν δὲ ἑτέροιϲ ἡ μὲν ἀρχὴ τὸ η̅ ἔχει, ἐν διφθόγγῳ δὲ ἡ παράληξιϲ γίνεται (Πηρείῃ) Eust. 341, 39. — 768 αὖ ACEGLS Barocc. Cant. Eton. Lips. omnes Vratt. Mosc. 1.: δ' αὖ H Schol. Pind. Nem. VII, 39. — 769 ἀχιλλεὺϲ GH. δ ACEGHL. φέρτεροϲ ES Cant. Vrat. b. — 771 ὃ L. ποντοπόροιϲι ACG. — 772 ἀπομηνιάϲαϲ Barocc. Mor. — 773 παραὶ H. — 774 δίϲκοιϲι EH. ἱέντεϲ H. ἐόντεϲ L. — 775 τόξοιϲί EG. — 776 ἐλεόθρεπτόν C. — 777 ἔϲταϲαν GL. εὖ: αὖ L. — 778 κλιϲίῃϲ' L. κλιϲίῃϲιν G. οἳ δ' L. οἵδ' CGH. — 779 κατα A. οὐδὲ μάχοντο S Vrat. a. b. ceteri οὐδ' ἐμάχοντο. — 780 οἵδ' CHL. ἂρ H. ὡϲ εἴτε AE: ceteri ὡϲείτε. — 781 ὑπεϲτονάχιζε LS. ὑποϲτονάχιζε GH. ὣϲ: ὡϲ ACEGH. — 782 ὅτε τ': ὅτε G. ὅτ' ἔτ' H. ὅτε γ' Schol. O 17. ἱμάϲϲει CEG Vrat. a. Schol. O 17. — 783 εἰναρίμοιϲ A. — 784 ὡϲ A. ϲτεναχίζετο AES Cant. Eton. Vrat. a. b.: ϲτοναχίζετο CGHL.

---

A. c. 766 Πηρείῃ, conf. Steph. Byzant. Πηρεία: Θεϲϲαλίαϲ χωρίον et Hesych. III, 332 Πηρίη: πόλιϲ ἐν Θεϲϲαλίᾳ, Wolf. Proleg. p. 28. Valckenarius ad Ammon. p. 206 scribendum esse censet Φηρείῃ. — 769 οὕτωϲ φέρτατοϲ, οὐ φέρτεροϲ, αἱ Ἀριϲτάρχου Didymus. — 772 ἀπομηνίϲαϲ: ἐπιμηνίϲαϲ Aristarchus, conf. Schol. V ad H 230; Philem. pg. 271, 59; Osann. Quaest. Hom. IV, p. 19; H. T. 198. — 777 ἑϲτάϲαν, non ἕϲταϲαν, Herodianus, conf. Eust. 345, 3. — 783 huic nonnulli subiunxerunt versum χώρῳ ἔνι δρυόεντι Ὕδηϲ ἐν πίονι δήμῳ teste Strabone XIII, 626. conf. Eust. 346, 35.

ἐρχομένων· μάλα δ᾽ ὦκα διέπρηccον πεδίοιο.
Τρωcὶν δ᾽ ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ἶρις
πὰρ Διὸc αἰγιόχοιο cὺν ἀγγελίῃ ἀλεγεινῇ·
οἳ δ᾽ ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃcι
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες.
ἀγχοῦ δ᾽ ἱcταμένη προcέφη πόδας ὠκέα Ἶρις·
εἴcατο δὲ φθογγὴν υἷι Πριάμοιο Πολίτῃ,
ὃc Τρώων cκοπὸc ἷζε ποδωκείῃcι πεποιθὼc
τύμβῳ ἐπ᾽ ἀκροτάτῳ Αἰcυήταο γέροντος,
δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί·
τῷ μιν ἐειcαμένη προcέφη πόδας ὠκέα Ἶρις·
ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰcιν,
ὥc ποτ᾽ ἐπ᾽ εἰρήνης· πόλεμος δ᾽ ἀλίαcτος ὄρωρεν.
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰcήλυθον ἀνδρῶν,
ἀλλ᾽ οὔ πω τοιόνδε τοcόνδέ τε λαὸν ὄπωπα·
λίην γὰρ φύλλοιcιν ἐοικότες ἢ ψαμάθοιcιν
ἔρχονται πεδίοιο μαχηcόμενοι προτὶ ἄcτυ.
Ἕκτορ, cοὶ δὲ μάλιcτ᾽ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι·
πολλοὶ γὰρ κατὰ ἄcτυ μέγα Πριάμου ἐπίκουροι,
ἄλλη δ᾽ ἄλλων γλῶccα πολυcπερέων ἀνθρώπων·
τοῖcιν ἕκαcτος ἀνὴρ cημαινέτω, οἷcί περ ἄρχει,
τῶν δ᾽ ἐξηγείcθω κοcμηcάμενος πολιήτας.
ὣc ἔφαθ᾽, Ἕκτωρ δ᾽ οὔ τι θεᾶc ἔπος ἠγνοίηcεν,
αἶψα δ᾽ ἔλυc᾽ ἀγορήν· ἐπὶ τεύχεα δ᾽ ἐccεύοντο.

---

V. L. 785 διέπρηcον CL. — 787 παρ A. παρὰ G. — 788 οἵδ᾽ CGHL. θύρῃcι ACEGH. — 790 μετέφη Vrat. b. προcέφη (μετ supra) H. — 791 εἴcατο γὰρ E 349, 12 S Vrat. b. εἰcαμένη E 348, 7. υἷι CEGHL. υἱέϊ A Vrat. a. Apoll. Lex. 62, 25. υἱεῖ Schol. N 533. — 792 τρῴων CGL. ἵζε GH. ἷζε A. ποδωκείαιcι G. — 793 ἐπακροτάτωι A. — 794 ναῦφι L 1. man. — 795 προcέφη ACL Vrat. a.: μετέφη GHS. γρ. μετέφη A. — 797 ὥc ποτ᾽: ὥcπερ G. — 798 ἦ μὲν δὴ: ἤδη μὲν S Cant. Vrat. b. πολλὰc G Lips. Vrat. b. c. — 799 τοcόνδέ τε ACGL. τόcον δέ τε H. — 801 προτὶ: libri περὶ. A περι. — 802 ἕκτωρ H. ὧδέ γε: ὧδε δὲ ACH Eton. Vrat. b. c. A. ὧδε δε S. ὧδέ τι L. — 804 πολυcπορέων S. — 807 ὡc A. ἠγνώηcεν H.

---

A. c. 791 υἷι, conf. H. U. pg. 46. 791—795 ἀθετοῦνται Aristonicus. — 795 προcέφη, non μετέφη scribendum esse demonstravi H. S. 209; accedit meliorum librorum auctoritas. — 798 Herodianus ἦ μὲν δή vel ἢ δὴ μέν: Aristarchus ἤδη μὲν ut Γ 184. — 801 προτὶ Aristarchus cum Zenodoto et Aristophane: alii περὶ. — 808 δ᾽ ἔλυc᾽: τινὲc ἀπὸ τοῦ λ τὴν ἀρχὴν ποιοῦνται καὶ προπεριcπῶcιν Herodianus.

πᾶϲαι δ᾽ ὠΐγνυντο πύλαι, ἐκ δ᾽ ἔϲϲυτο λαόϲ,
πεζοί θ᾽ ἱππῆέϲ τε· πολὺϲ δ᾽ ὀρυμαγδὸϲ ὀρώρει.
ἔϲτι δέ τιϲ προπάροιθε πόλιοϲ αἰπεῖα κολώνη,
ἐν πεδίῳ ἀπάνευθε, περίδρομοϲ ἔνθα καὶ ἔνθα,
τὴν ἤ τοι ἄνδρεϲ Βατίειαν κικλήϲκουϲιν,
ἀθάνατοι δέ τε ϲῆμα πολυϲκάρθμοιο Μυρίνηϲ·
ἔνθα τότε Τρῶέϲ τε διέκριθεν ἠδ᾽ ἐπίκουροι.
Τρωϲὶ μὲν ἡγεμόνευε μέγαϲ κορυθαίολοϲ Ἕκτωρ
Πριαμίδηϲ· ἅμα τῷ γε πολὺ πλεῖϲτοι καὶ ἄριϲτοι
λαοὶ θωρήϲϲοντο μεμαότεϲ ἐγχείῃϲι.
Δαρδανίων αὖτ᾽ ἦρχεν ἐὺϲ πάιϲ Ἀγχίϲαο,
Αἰνέιαϲ, τὸν ὑπ᾽ Ἀγχίϲῃ τέκε δῖ᾽ Ἀφροδίτη,
Ἴδηϲ ἐν κνημοῖϲι θεὰ βροτῷ εὐνηθεῖϲα,
οὐκ οἶοϲ, ἅμα τῷ γε δύω Ἀντήνοροϲ υἷε,
Ἀρχέλοχόϲ τ᾽ Ἀκάμαϲ τε, μάχηϲ εὖ εἰδότε πάϲηϲ.
οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδηϲ,
ἀφνειοί, πίνοντεϲ ὕδωρ μέλαν Αἰϲήποιο,
Τρῶεϲ, τῶν αὖτ᾽ ἦρχε Λυκάονοϲ ἀγλαὸϲ υἱόϲ,
Πάνδαροϲ, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸϲ ἔδωκεν.
οἳ δ᾽ Ἀδρήϲτειάν τ᾽ εἶχον καὶ δῆμον Ἀπαιϲοῦ,
καὶ Πιτύειαν ἔχον καὶ Τηρείηϲ ὄροϲ αἰπύ,
τῶν ἦρχ᾽ Ἄδρηϲτόϲ τε καὶ Ἄμφιοϲ λινοθώρηξ,
υἷε δύω Μέροποϲ Περκωϲίου, ὃϲ περὶ πάντων

V. l. 810 ὀρυγμαδὸϲ CGHL 1. man. — 811 πόλιοϲ προπάροιθεν Apoll. Lex. 102, 3, unde Bothius πόλιοϲ προπάροιθ᾽ edidit. πόληοϲ EL 2. man. — 813 ἤ τοι: libri ἤτοι. — 814 Μυρίννηϲ E 350, 41; 44; 45; 351, 20; 25. — 815 τρῷεϲ G. — 816 τρῳϲὶ L. κορυθαιόλοϲ E 352, 21. — 818 μεμαῶτεϲ CH ἐγχείῃϲι AGG. — 819 τ᾽ αὖ ἦρχεν L. πάϊϲ CGLS Strabo XIII, 585; 592. Apoll. Lex. 79, 24. πᾶϊϲ H. παῖϲ A. — 820 τὸν: ὃν E. — 821 κνήμαιϲι G. — 824 οἱ AC. — 826 τρῷεϲ GL. τῶν τ᾽ αὖ Vrat. A. — 828 οἱ A. οἵδ᾽ ἄρ Ἀδρήϲτειάν H Schol. Apoll. Rhod. I, 1116. ἀδράϲτειαν εἶχον G. — 829 πίτυαν ἔχον G. πιτύαν εἶχον Strabo XIII, 587. τυρείηϲ GL. — 830 ἄδραϲτόϲ G. ἄνδρηϲτοϲ S. — 831 Περκωϲίου: κερκοπίου G. περι A.

A. c. 811 οὕτωϲ αἰπεῖα ὡϲ ὀξεῖα Schol. A. — 813 Βατίειαν Herodianus προπαροξυτόνωϲ. — 814 Μυρίννη ἐν ἁπλότητι μὲν γράφεται τοῦ ρ̄, διπλόην δὲ ἔχει τοῦ ν̄ κατὰ τὸ Ἠρίννα Eust. 351, 41. — 816 κορυθαιόλοϲ δὲ παροξύνεται ὑπὸ τῶν παλαιῶν Eust. 352, 28, vid. H. T. 421. Cod. A fere semper κορυθαιόλοϲ habet. — 819 πάϊϲ conf. H. U. p. 96. — 824 ὑπαὶ πόδα Herodianus cum Aristarcho: Tyrannio ὕπαι, conf. Schol. O 4. — 828 Ἀδρήϲτειαν δὲ θέλουϲι μέν τινεϲ τριϲυλλάβωϲ Δρήϲτειαν γράφειν Eust. 355, 13. Ἀπαιϲοῦ Herodianus. — 831 περὶ, non πέρι, Herodianus, cf. H. T. 337.

ἤδεε μαντοcύναc, οὐδὲ οὓc παῖδαc ἔαcκε
cτείχειν ἐc πόλεμον φθιcήνορα. τὼ δέ οἱ οὔ τι
πειθέcθην· κῆρεc γὰρ ἄγον μέλανοc θανάτοιο.
οἳ δ᾽ ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο,
καὶ Cηcτὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίcβην,
τῶν αὖθ᾽ Ὑρτακίδηc ἦρχ᾽ Ἄcιοc, ὄρχαμοc ἀνδρῶν,
Ἄcιοc Ὑρτακίδηc, ὃν Ἀρίcβηθεν φέρον ἵπποι
αἴθωνεc μεγάλοι, ποταμοῦ ἄπο Cελλήεντοc.
Ἱππόθοοc δ᾽ ἄγε φῦλα Πελαcγῶν ἐγχεcιμώρων,
τῶν οἳ Λάριcαν ἐριβώλακα ναιετάαcκον·
τῶν ἦρχ᾽ Ἱππόθοόc τε Πύλαιόc τ᾽, ὄζοc Ἄρηοc,
υἷε δύω Λήθοιο Πελαcγοῦ Τευταμίδαο.
αὐτὰρ Θρήικαc ἦγ᾽ Ἀκάμαc καὶ Πείροοc ἥρωc,
ὅccουc Ἑλλήcποντοc ἀγάρροοc ἐντὸc ἐέργει.
Εὔφημοc δ᾽ ἀρχὸc Κικόνων ἦν αἰχμητάων,
υἱὸc Τροιζήνοιο διοτρεφέοc Κεάδαο.
αὐτὰρ Πυραίχμηc ἄγε Παίοναc ἀγκυλοτόξουc,
τηλόθεν ἐξ Ἀμυδῶνοc, ἀπ᾽ Ἀξιοῦ εὐρὺ ῥέοντοc,
Ἀξιοῦ, οὗ κάλλιcτον ὕδωρ ἐπικίδναται αἶαν.

---

V. L. 832 οὐδὲ οὓc: οὐδ᾽ ἑοὺc ACGHL Vrat. a. b. A. οὐδὲ ἑοὺc Lips. Eton. Vrat. c. ΟΥΔ᾽ ЄΟΥC Ambros. ἔαcκε A Ambros. CGH. — 833 CΤΙΧЄΙΝ Ambros. φθειcήνορα Eust. 355, 10, sed 356, 17 φθιcήνορα. τῷ: ΤΩΙ Ambros. τώδε G. — 834 ΠΙΘЄCΘΗΝ Ambrosianus. — 835 οἱ A. περκώπην G. — 837 τῶν δ᾽ αὖ G. — 839 ἄπο AH Apoll. de Synt. 308, 28: ἀπὸ CEGL. — 841 Λάριcαν ACH Lips. Eton. Vrat. a. Strabo V, 221; XIII, 620: λάριccαν EGL. ναιετάεcκον G. — 842 ὄζοc: ὄζω G. — 844 Πείροοc: Πείρωc E 358, 24; 359, 5. πείρωοc G. conf. Δ 520, 525. — 847 διοτροφέοc G. — 849 Ἀμυδῶνοc: Ἀβυδῶνοc Steph. Byz. 10, 12. Suidas I, 1, 32, 7. εὐρὺ ῥέοντοc ACE 359, 22 HLS. εὐρυρέοντοc G. εὐρυρέοντοc Strabo VII, 330 ter. utrumque Eust. 360, 5. — 850 ἐπιcκίδναται G. αἶαν libri mei cum Cant. Eton. Lips. Vratt. Mosc. 1.: αἴῃ Eust. 359, 24.

---

A. c. 832 οὐδὲ οὓc non οὐδ᾽ ἑούc scribendum est, δέ enim ante οὕc, quod olim digammum habuit, produci quidem potest, sed ε̄ in ἑούc nunquam, conf. θυγατέρᾱ ἥν Є 371, Ζ 192. πόcεϊ ᾧ Є 71. τέκεϊ ᾧ Ω 36, δ 175. cθένεϊ ᾧ Π 542. ἄχεϊ οὗ ο 358. δὲ ἰάχοντεc δ 454. cμερδαλέᾱ ἰάχων Є 302, Θ 321, Π 785. ἄρᾱ ἔρξαν ξ 411. ἀπὸ ἕο (ἕθεν) Є 343, Ζ 62, Κ 465, Μ 205, Ν 163, Υ 261, 278, ι 398, φ 136, 163. — 839 ἄπο Nicias et Ptolemaeus: ἀπὸ Herodianus cum Aristarcho, conf. ad 877. — 842 Πύλαιοc Herodianus, vide Eust. 358, 15, conf. Lehrs. Arist. p. 307. — 848 nonnulli huic subiunxerunt „Πηλεγόνοc θ᾽ υἱὸc περιδέξιοc Ἀcτεροπαῖοc“ conf. Schol. Φ 140. Eust. 1228, 37. — 849, 850 ἐν δὲ τῷ „ἐπικίδναται αἴῃ“ ἢ „αἶαν“ (διττῶc γὰρ ἡ γραφή) αἶαν τινὲc οὐ τὴν γῆν ἐνόηcαν, ἀλλά τινα πηγήν, ὡc δῆλον ἐξ ὧν ὁ γεωγράφοc φηcί, λέγων ὅτι ἡ παρ᾽ Ὁμήρῳ Ἀμυδὼν Ἀβυδὼν ὕcτερον ἐκλήθη Eust. 360,

Παφλαγόνων δ᾽ ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ
ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων,
οἵ ῥα Κύτωρον ἔχον καὶ Ϲήσαμον ἀμφενέμοντο
ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματ᾽ ἔναιον,
Κρῶμνάν τ᾽ Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους.
αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον
τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.
Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιστής.
ἀλλ᾽ οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν,

---

V. L. 851 δ᾽ omitt. S. — 852 ἐξενετῶν A. καὶ ἐνετῶν G. — 854 δώματ᾽ ἔναιον: ἔργ᾽ ἐνέμοντο Strabo XIII, 590. — 855 κρώμναν τ᾽ G. ἐριθύνους L. — 856 Ἁλιζώνων EGH Strabo XII, 549. Et. Mg. 64, 1. αλιζώνων A. Ἀλαζώνων Cram. Epim. 78, 25. Ὀδίος ACHL: Ὁδίος EG Et. Mg. 64, 1. Schol. ω 304. — 857 τηλόθϊ L post ras. ἐλθόντ᾽ ἐξ Ἀλόπης, ὅθ᾽ Ἀμαζονίδων γένος ἐστὶν Steph. Byz. 77, 14. — 859 ἐρύσατο E 364, 10 et 19 GL: ἐρύσσατο ACH.

---

11. τὸν στίχον „Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν" μεταγράφουσιν οὕτως „Ἀξιοῦ, ᾧ κάλλιστον ὕδωρ ἐπικίδναται Αἴης" Strabo VII, 330. φέρει δὲ τὸ ἔπος καὶ Εὔδοξος ἄνευ τοῦ $\overline{ν}$ „Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται Αἶα" Schol. λ 239.

A. c. 852 Ἐνετῶν: Zenodotus Ἐνετῆς vel Ἐνέτης, conf. Strab. XII, 543; 553. Eust. 361, 19. — 855 Κρῶμνάν τ᾽ Αἰγίαλόν τε γράφεται δὲ „Κρῶμναν Κωβίαλόν τε" Steph. Byz. 40, 17. γράφουσι δέ τινες „Κρῶμναν Κωβίαλόν τε" Strabo XII, 545, conf. Eust. 362, 29, qui addit Ἀπολλώνιος δὲ γράφει ἐν τοῖς ἑαυτοῦ „Κωβίαλον Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον" (Apoll. Rhod. Argon. II, 942). παρ᾽ Ὁμήρῳ δὲ μεταγράφεται ἀντὶ τοῦ „Κρώμναν τ᾽ Αἰγίαλόν τε" „Κρώμναν Κρωβίαλόν τε" Schol. Apoll. Rhod. II, 942. post 855 nonnulli Καυκῶνας δ᾽ αὖτ᾽ ἦγε Πολυκλέος υἱὸς ἀμύμων (Eust. Ἄμειβος ἢ Ἀμύμων, Schol. Υ 329 Ἄμειβος), οἳ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματ᾽ ἔναιον (Eust. κατὰ δώματα ναῖον ἢ κλυτὰ δώματ᾽ ἔναιον, Schol. Υ 329 κλυτὰ δώματα ναῖον). ita Callisthenes apud Strabonem XII, 542. conf. Schol. Υ 329. Eust. 1210, 47. — 856 οἱ μὲν μεταγράφουσιν „Ἀλαζώνων", οἱ δ᾽ „Ἀμαζώνων" ποιοῦντες, τὸ δ᾽ „ἐξ Ἀλύβης" „ἐξ Ἀλόπης" ἢ „ἐξ Ἀλόβης" Strabo XII, 550. γράφει (Ἔφορος) γὰρ οὕτως „αὐτὰρ Ἀμαζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον, ἐλθόντ᾽ ἐξ Ἀλύπης, ὅθ᾽ Ἀμαζονίδων γένος ἐστί" Strabo XII, 550, qui paullo infra addit καὶ ἡ μεταγραφὴ δὲ παρὰ τὴν τῶν ἀντιγράφων τῶν ἀρχαίων πίστιν καινοτομουμένη ἐπὶ τοσοῦτον σχεδιασμῷ ἔοικεν. Palaephatus Ἀλαζώνων teste Strabone XII, 551, Menecrates et Apollodorus Ἁλίζωνων (XII, 552). λέγει (ὁ γεωγράφος) δὲ καὶ ὅτι τὸ Ἁλιζώνων οὐ μόνον Ὀλιζώνων τινὲς μεταγράφουσιν, ἀλλὰ καὶ Ἀλαζώνων Eust. 363, 18. — 857 ἐξ Ἀλύβης: Ἀλύπης Palaephatus apud Strabonem XII, 551. ἐκ Χαλύβης alii teste Strabone XII, 549; 551. τὸ δὲ „ἐξ Ἀλύβης" „ἐξ Ἀλύβων" τινὲς γράφουσιν, ἕτεροι δὲ „ἐκ Χαλύβων", ἄλλοι „ἐξ Ἀλόπης", ἢ κατὰ Μενεκράτην „ἐξ Ἀλόβης", ἔτι δὲ καὶ „ἐκ Χαλύβης" Eust. 363, 12. — 859 ἐρύσατο etsi non hoc, sed omnibus ceteris locis habent libri meliores uno $\overline{c}$ scriptum, conf. Ε 344, Λ 363, Ο 290, Υ 194, 450, α 6, ξ 279, χ 372.

ἀλλ᾽ ἐδάμη ὑπὸ χερϲὶ ποδώκεοϲ Αἰακίδαο
ἐν ποταμῷ, ὅθι περ Τρῶαϲ κεράιζε καὶ ἄλλουϲ.
Φόρκυϲ αὖ Φρύγαϲ ἦγε καὶ Ἀϲκάνιοϲ θεοειδὴϲ
τῆλ᾽ ἐξ Ἀϲκανίηϲ· μέμαϲαν δ᾽ ὑϲμῖνι μάχεϲθαι.
Μῄοϲιν αὖ Μέϲθληϲ τε καὶ Ἄντιφοϲ ἡγηϲάϲθην,
υἷε Ταλαιμένεοϲ, τὼ Γυγαίη τέκε λίμνη,
οἳ καὶ Μῄοναϲ ἦγον ὑπὸ Τμώλῳ γεγαῶταϲ.
Νάϲτηϲ αὖ Καρῶν ἡγήϲατο βαρβαροφώνων,
οἳ Μίλητον ἔχον Φθιρῶν τ᾽ ὄροϲ ἀκριτόφυλλον
Μαιάνδρου τε ῥοὰϲ Μυκάληϲ τ᾽ αἰπεινὰ κάρηνα·
τῶν μὲν ἄρ᾽ Ἀμφίμαχοϲ καὶ Νάϲτηϲ ἡγηϲάϲθην,
Νάϲτηϲ Ἀμφίμαχόϲ τε, Νομίονοϲ ἀγλαὰ τέκνα,
ὃϲ καὶ χρυϲὸν ἔχων πόλεμον δ᾽ ἴεν, ἠύτε κούρη,
νήπιοϲ, οὐδέ τί οἱ τό γ᾽ ἐπήρκεϲε λυγρὸν ὄλεθρον,

V. l. 861 τρῷαϲ κεραΐζετο ἄλλουϲ G. — 862 αὖ: δὲ Strabo XIV, 680. δ᾽ αὖ Schol. Ν 793. — 863 ὑϲμίνῃ GL. — 864 μηιόϲιν S. μήοϲι[αι] δ᾽ αὖ G. — 865 Ταλαιμένεοϲ: πυλαιμένεοϲ S. πηλεμένεοϲ G. γυγέη C. γυγαίηι A. — 866 ὑπο A. γεγαώταϲ G. — 867 Νάϲτηϲ: Μάϲθληϲ Strabo XIV, 661. Ναύϲτηϲ, μάλιϲτα δὲ κατὰ τὰ πλείω καὶ ἀκριβέϲτερα τῶν ἀντιγράφων Νάϲτηϲ δίχα τοῦ ῡ Eust. 367, 1. — 868 φθιρῶν ACG Vrat. b.: φθειρῶν EHLS Hesych. IV, 240. Schol. B 494. Eust. 263, 23. Μυκάληϲ τ᾽: Μυκαληϲοῦ τ᾽ Schol. B 494. — 869 τὲ ῥοὰϲ ACH. — 870 ἂρ GH. ἀρ A. ναύϲτηϲ C. — 871 νομείονοϲ H. — 872 ὃϲ δὴ χρυϲὸν G. ἔχον[ω] H. πόλεμον δ᾽ AHL. — 873 οὐδέ τι οἱ AGH. οὐδ᾽ ἔτι οἱ L. τό γ᾽: τόδ᾽ Pseudoplut. 140, 40.

A. c. 860, 861 ἀθετοῦνται ἀμφότεροι Aristonicus. — 864 Μῄοϲιν et Μήοναϲ Heraclides (ἄνευ τοῦ ῑ) apud Eust. 365, 27. Μέϲθληϲ: τινὲϲ καὶ Μέϲτρην γράφεϲθαι φαϲίν Eust. 366, 11. — 865 Γυγαίη: γράφεται δὲ ἐν τοῖϲ ϲχολίοιϲ καὶ ὅτι ἡ Μαϲϲαλιωτικὴ ἔκδοϲιϲ ἀντὶ τοῦ Γυγαίη λίμνη γυραίωϲ (γυραίη?) εἶχεν Eust. 366, 12. λίμνη Aristarchus: λίμνῃ Chaeris et Diodorus. οἱ δὲ ϲχολιαϲταὶ τὸ μὲν Γυγαίη δέχονται κατ᾽ εὐθεῖαν πτῶϲιν, τὸ δὲ λίμνῃ κατὰ δοτικήν Eust. 366, 3. ἀρέϲκει τοῖϲ παλαιοτέροιϲ εὐθεῖαν εἶναι καὶ τὸ λίμνη, καθὰ καὶ τὸ Γυγαίη Eust. 366, 8. — 866 προϲγράφουϲί τινεϲ τοῦτο τέταρτον ἔποϲ „Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδηϲ ἐν πίονι δήμῳ“. οὐδεμία δ᾽ εὑρίϲκεται Ὕδη ἐν τοῖϲ Λυδοῖϲ Strabo XIII, 626. ἡ δὲ κατ᾽ Εὐριπίδην μετὰ τὸν τρίτον ϲτίχον, οὗ ἀρχὴ τὸ „οἳ καὶ Μῄοναϲ ἦγον“ γράφει τέταρτον τοῦτον κατὰ ϲχῆμα ἐπαναλήψεωϲ „Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδηϲ ἐν πίονι δήμῳ“ Eust. 366, 13. — 868 Φθιρῶν Herodianus, conf. Eust. 368, 12. Cram. An. Ox. II, 41, 17; 133, 19; 274, 7. Et. Mg. 792, 43. — 870, 871 ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐϲτὶ τὸ „ὃϲ καὶ χρυϲὸν ἔχων“. ὁ δὲ Ϲιμωνίδηϲ ἐπὶ τοῦ Νάϲτου λέγει Aristonicus. videtur igitur Simonides hos versus non legisse. — 874, 875 in cod. A obelo notantur. intercidit scholium Aristonici socordia librarii; nam si Aristarchus versus 860, 861 Homero abiudicaverat, hos pro genuinis habere non potuit.

ἀλλ᾽ ἐδάμη ὑπὸ χερϲὶ ποδώκεοϲ Αἰακίδαο
ἐν ποταμῷ, χρυϲὸν δ᾽ Ἀχιλεὺϲ ἐκόμιϲϲε δαΐφρων.
Ϲαρπηδὼν δ᾽ ἦρχεν Λυκίων καὶ Γλαῦκοϲ ἀμύμων
τηλόθεν ἐκ Λυκίηϲ, Ξάνθου ἄπο δινήεντοϲ.

## ΙΛΙΑΔΟϹ Γ.

Αὐτὰρ ἐπεὶ κόϲμηθεν ἅμ᾽ ἡγεμόνεϲϲιν ἕκαϲτοι,
Τρῶεϲ μὲν κλαγγῇ τ᾽ ἐνοπῇ τ᾽ ἴϲαν ὄρνιθεϲ ὥϲ,
ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
αἵ τ᾽ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέϲφατον ὄμβρον,
κλαγγῇ ταί γε πέτονται ἐπ᾽ Ὠκεανοῖο ῥοάων
ἀνδράϲι Πυγμαίοιϲι φόνον καὶ κῆρα φέρουϲαι·
ἠέριαι δ᾽ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται·
οἳ δ᾽ ἄρ᾽ ἴϲαν ϲιγῇ μένεα πνείοντεϲ Ἀχαιοὶ
ἐν θυμῷ μεμαῶτεϲ ἀλεξέμεν ἀλλήλοιϲιν.
εὖτ᾽ ὄρεοϲ κορυφῇϲι νότοϲ κατέχευεν ὀμίχλην,
ποιμέϲιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸϲ ἀμείνω,

---

V. L. 874 ὑπο A. — 875 ἀχιλλεὺϲ GH. ἐκόμιϲε G. — 876 ἦρχε CE GHL 1. man. — 877 ἄπο AH: ἀπὸ CE 368, 43; 369, 30 GL.

---

A. c. 877 ἄπο Aristarchus et Apollonius: ἀπὸ Ptolemaeus, sed conf. 839.

---

V. L. 1 ἕκαϲτοι: ἕκαϲτοϲ Eust. 1840, 8. — 2 τρῷεϲ CGL. τ᾽ post κλαγγῇ omitt. AEGHL Townl. Eton. Mosc. 1. Et. Mg. 344, 49. Cram. An. Ox. II, 472, 18. Zonar. Lex. 729: habent CDS Apoll. Lex. 3, 12. Io. Alex. 31, 30. Et. Mg. 516, 19. Cram. An. Par. I, 237, 30. Strabo XII, 574. — 5 κλαγγî D. ταί γε D 1. man.: τ᾽ αἵγε D 2. man. πέτωνται D. πέτανται Schol. Є 249. — 7 omitt. G. τ᾽ αἵγε D ex corr. — 8 οἵδ᾽ CDGH. οἳ δ᾽ L. ἆρ ADEGHL. ῖϲαν D. — 10 ὥϲ τ᾽ ὄρεοϲ G. ceteri εὖτ᾽ ὄρεοϲ cum Schol. Τ 386. Et. Mg. 398, 46; 56; 57. Eust. 117, 37. Apoll. de Adv. 558, 7. κορυφαῖϲι G. ὀμίχλην: ὁμίχλην ACDE 373, 26; 42. — 11 οὔ τι: οὔτε L.

---

A. c. 3 Ϲέλευκοϲ καὶ οἱ πλεῖϲτοι ὑγιῶϲ ἐφίϲτων τῷ „οὐρανόθι πρό". ἡ γὰρ εἰϲ θι παραγωγὴ τὸ ἐν τόπῳ ϲημαίνει. ὅπερ τινὲϲ μετέγραψαν τὸ „οὐρανόθεν", ἵνα τὸ ἐκ τόπου δηλωθῇ Apoll. de Adverb. 608, 17. — 10 εὖτ᾽ ὄρεοϲ Aristarchus: ἠῦτε ὄρεοϲ Chia et Massiliensis cum quibusdam aliis, conf. Schol. Τ 386. Et. Mg. 398, 46 sqq. ὀμίχλην, conf. Α 359. — 11 Aristarchus ἀμείνω: ὅτι τινὲϲ γράφουϲι ϲὺν τῷ ν ἀμείνων Aristonicus. conf. Et. Mg. 82, 43 et Et. Gud. 44, 31 ἀμείνω χωρὶϲ τοῦ ν.